GREEK SERIES · VOLUME 52

# The Knights, the Wasps, and the Thesmophoriazusae

Aristophanes

# ΙΠΠΗΣ
# ΣΦΗΚΕΣ
# ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ

*The Knights, the Wasps, and the Thesmophoriazusae*

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0




Volume 52 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows F. W. Hall and W. M. Geldart's
Oxford Aristophanes, second edition (1906–07)

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Lines the editors seclude are not printed.

# CONTENTS

## THE KNIGHTS


I · The Paphlagonian . . . . . 9
II · The Knights Charge . . . . . 26
III · The Shouting Match . . . . . 30
IV · To the Council . . . . . 42
V · The Parabasis . . . . . 45
VI · The Sausage-seller's Report . . . . . 53
VII · The Contest Before Demos . . . . . 64
VIII · The Ring . . . . . 79
IX · The Cleon-free Day . . . . . 81
X · The Battle of Oracles . . . . . 83
XI · Demos Answers . . . . . 92
XII · The Feast and the Oracle Fulfilled . . . . . 95
XIII · The Second Parabasis . . . . . 104
XIV · Demos Restored . . . . . 107
XV · The New Order . . . . . 110


## THE WASPS


I · The Juror Locked In . . . . . 119
II · The Wasp-jurors . . . . . 135
III · The Escape by Rope . . . . . 143
IV · Wasps Against Smoke . . . . . 149
V · The Debate . . . . . 159

THE WASPS

*(continued)*

VI · The Chorus Persuaded . . . . . 176
VII · The Court at Home . . . . . 179
VIII · Prayer for the New Court . . . . . 187
IX · The Trial of Labes . . . . . 189
X · The Parabasis . . . . . 198
XI · The Old Man Refined . . . . . 207
XII · Amynias and Automenes . . . . . 218
XIII · The Drunken Old Man . . . . . 220
XIV · A Changed Man . . . . . 231
XV · The Dancing Contest . . . . . 233
XVI · Exodus . . . . . 236

THE THESMOPHORIAZUSAE

I · Euripides and Agathon . . . . . 241
II · The Women's Prayers . . . . . 262
III · The Women's Assembly . . . . . 267
IV · Cleisthenes' Warning . . . . . 282
V · The Search . . . . . 288
VI · The Hostage . . . . . 291
VII · The Chorus's Threats . . . . . 292
VIII · The Wineskin . . . . . 294
IX · The Parabasis . . . . . 298
X · Helen . . . . . 303
XI · The Festival Dance . . . . . 310
XII · Andromeda . . . . . 314
XIII · Hymn to Pallas . . . . . 324
XIV · The Escape . . . . . 325
XV · Exodus . . . . . 330

ARISTOPHANES

# ΙΠΠΗΣ

*The Knights*

## I · THE PAPHLAGONIAN

*Two slaves of old Demos lament the beatings their master's new slave, the Paphlagonian tanner, brings on them by slander and flattery. They think of deserting or dying, then drink, steal the Paphlagonian's oracles while he snores drunk, and read that a sausage-seller will overthrow him. A sausage-seller happens by; they hail him as the city's coming master, show him the people he will rule, and assure him that being vulgar, wicked, and from the market is just what leadership needs. The Paphlagonian bursts out, and the slave calls back the fleeing Sausage-seller.*

ΔΗΜΟΣΘΕΝΗΣ ἰατταταιὰξ τῶν κακῶν, ἰατταταῖ.
*oh-oh-oh of-the evils ow*

κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
*badly Paphlagon the newly-bought evil*

αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
*with-their-very plans may-destroy the gods*

ἐξ οὗ γὰρ εἰσήρρησεν ἐς τὴν οἰκίαν
*since which for he-burst-in into the house*

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.
*blows always he-rubs-on the servants*

ΝΙΚΙΑΣ κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
*most-vilely then this at-least first of-Paphlagonians*

αὐταῖς διαβολαῖς. ΔΗΜΟΣΘΕΝΗΣ ὦ κακόδαιμον πῶς ἔχεις;
*with-his-very slanders O ill-starred how are-you*

ΝΙΚΙΑΣ κακῶς καθάπερ σύ. ΔΗΜΟΣΘΕΝΗΣ δεῦρο δὴ πρόσελθ', ἵνα
*badly just-as you here now approach so-that*

ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον.
*duet we-may-wail of-Olympus tune*

ΔΗΜΟΣΘΕΝΗΣ ΚΑΙ ΝΙΚΙΑΣ μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ.
*mumu mumu mumu mumu mumu mumu*

ΔΗΜΟΣΘΕΝΗΣ τί κινυρόμεθ᾽ ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα
*why do-we-whimper idly not ought-we to-seek some*
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
*salvation for-us-two but not to-weep still*
ΝΙΚΙΑΣ τίς οὖν γένοιτ᾽ ἄν; ΔΗΜΟΣΘΕΝΗΣ λέγε σύ.
*what then could-be — say you*
ΝΙΚΙΑΣ σὺ μὲν οὖν μοι λέγε,
*you indeed rather to-me say*
ἵνα μὴ μάχωμαι. ΔΗΜΟΣΘΕΝΗΣ μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ.
*so-that not I-fight by — Apollo I indeed not*
ΝΙΚΙΑΣ πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρὴ λέγειν;
*how — you to-me could-say what-things one-must say*
ΔΗΜΟΣΘΕΝΗΣ ἀλλ᾽ εἰπὲ θαρρῶν, εἶτα κἀγὼ σοὶ φράσω.
*but speak boldly then and-I to-you will-tell*
ΝΙΚΙΑΣ ἀλλ᾽ οὐκ ἔνι μοι τὸ θρέττε. πῶς ἂν οὖν ποτε
*but not is-in me the courage how — then ever*
εἴποιμ᾽ ἂν αὐτὸ δῆτα κομψευριπικῶς;
*could-I-say — it then Euripides-elegantly*
ΔΗΜΟΣΘΕΝΗΣ μὴ ᾽μοί γε, μὴ ᾽μοί, μὴ διασκανδικίσῃς·
*not to-me at-least not to-me not chervil-me*
ἀλλ᾽ εὑρέ τιν᾽ ἀπόκινον ἀπὸ τοῦ δεσπότου.
*but find some getaway from the master*
ΝΙΚΙΑΣ λέγε δὴ μόλωμεν ξυνεχὲς ὠδὶ ξυλλαβών.
*say now let-us-go together so putting-together*
ΔΗΜΟΣΘΕΝΗΣ καὶ δὴ λέγω μόλωμεν. ΝΙΚΙΑΣ ἐξόπισθε νῦν
*and indeed I-say let-us-go behind now*
αὐτὸ φάθι τοῦ μόλωμεν. ΔΗΜΟΣΘΕΝΗΣ αὐτό. ΝΙΚΙΑΣ πάνυ καλῶς.
*it say after-the let-us-go it very well*
ὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε
*as-if wanking now gently first say*

τὸ μόλωμεν, εἶτα δ' αὐτό, κᾆτ' ἐπάγων πυκνόν.
*the let-us-go then and it and-then bringing-on fast*

ΔΗΜΟΣΘΕΝΗΣ μόλωμεν αὐτὸ μόλωμεν αὐτομολῶμεν. ΝΙΚΙΑΣ ἦν
*let-us-go it let-us-go let-us-desert see*

οὐχ ἡδύ; ΔΗΜΟΣΘΕΝΗΣ νὴ Δία· πλήν γε περὶ τῷ δέρματι
*not sweet by Zeus except at-least about the hide*

δέδοικα τουτονὶ τὸν οἰωνόν. ΝΙΚΙΑΣ τί δαί;
*I-fear this-here the omen what then*

ΔΗΜΟΣΘΕΝΗΣ ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται.
*because the hide of-the-wanking goes-off*

ΝΙΚΙΑΣ κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν,
*best well-then of-the present-things is for-us-two*

θεῶν ἰόντε προσπεσεῖν του πρὸς βρέτας.
*of-gods going to-fall-before some at image*

ΔΗΜΟΣΘΕΝΗΣ †ποῖον βρέτας†; ἐτεὸν ἡγεῖ γὰρ θεούς;
*what image really do-you-believe for gods*

ΝΙΚΙΑΣ ἔγωγε. ΔΗΜΟΣΘΕΝΗΣ ποίῳ χρώμενος τεκμηρίῳ;
*I-at-least what using proof*

ΝΙΚΙΑΣ ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ'. οὐκ εἰκότως;
*because to-gods hateful I-am not reasonably*

ΔΗΜΟΣΘΕΝΗΣ εὖ προσβιβάζεις μ'. ἀλλ' ἑτέρᾳ πῃ σκεπτέον.
*well you-bring-round me but in-another some-way one-must-look*

βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;
*do-you-wish the matter to-the spectators I-may-tell*

ΝΙΚΙΑΣ οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
*not worse one-thing and them let-us-ask*

ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
*plain to-us with-the faces to-make*

ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασιν.
*if in-the words they-delight and in-the doings*

ΔΗΜΟΣΘΕΝΗΣ λέγοιμ᾽ ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
*I-would-tell — now to-us-two for is master*
ἄγροικος ὀργὴν κυαμοτρὼξ ἀκράχολος,
*rustic in-temper bean-chewing hot-tempered*
Δῆμος πυκνίτης, δύσκολον γερόντιον
*Demos of-the-Pnyx peevish little-old-man*
ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
*half-deaf this at-the former new-moon*
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
*bought slave tanner Paphlagonian*
πανουργότατον καὶ διαβολώτατόν τινα.
*most-villainous and most-slanderous one*
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
*this having-learned of-the old-man the ways*
ὁ βυρσοπαφλαγών, ὑποπεσὼν τὸν δεσπότην
*the leather-Paphlagonian fawning-on the master*
ᾤκαλλ᾽ ἐθώπευ᾽ ἐκολάκευ᾽ ἐξηπάτα
*fawned flattered toadied deceived*
κοσκυλματίοις ἄκροισι τοιαυτὶ λέγων·
*with-leather-scraps tips such-here saying*
ὦ Δῆμε λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
*O Demos bathe first having-judged one*
ἐνθοῦ ῥόφησον ἔντραγ᾽ ἔχε τριώβολον.
*cram-in gulp chew-up have three-obols*
βούλει παραθῶ σοι δόρπον; εἶτ᾽ ἀναρπάσας
*do-you-wish I-may-serve you supper then snatching*
ὅ τι ἄν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ
*what thing — anyone of-us prepares for-the master*
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ᾽ ἐμοῦ
*Paphlagon has-given-as-a-favor this and the-other-day at-least me*

μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικήν,
*cake having-kneaded in Pylos Laconian*
πανουργότατά πως περιδραμὼν ὑφαρπάσας
*most-villainously somehow running-round snatching*
αὐτὸς παρέθηκε τὴν ὑπ᾽ ἐμοῦ μεμαγμένην,
*himself served the by me kneaded*
ἡμᾶς δ᾽ ἀπελαύνει κοὐκ ἐᾷ τὸν δεσπότην
*us and drives-off and-not lets the master*
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
*other to-serve but leather-flap having*
δειπνοῦντος ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.
*dining standing he-shoos-off the speakers*
ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ.
*he-sings and oracles the and old-man Sibylizes*
ὁ δ᾽ αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
*he and him when he-sees mooncalfed*
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
*art he-has-made the for inside downright*
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
*lies he-slanders and-then we-are-whipped*
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας
*we Paphlagon and running-round the servants*
αἰτεῖ ταράττει δωροδοκεῖ λέγων τάδε·
*demands confounds takes-bribes saying these-things*
"ὁρᾶτε τὸν Ὕλαν δι᾽ ἐμὲ μαστιγούμενον;
*you-see — Hylas through me being-whipped*
εἰ μή μ᾽ ἀναπείσετ᾽, ἀποθανεῖσθε τήμερον."
*if not me you-persuade you-will-die today*
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μή, πατούμενοι
*we and give if and not trampled*

ὑπὸ τοῦ γέροντος ὀκταπλάσιον χέζομεν.
*by the old-man eight-times-as-much we-shit*
νῦν οὖν ἀνύσαντε φροντίσωμεν ὦγαθέ,
*now then quickly let-us-take-thought good-sir*
ποίαν ὁδὸν νὼ τρεπτέον καὶ πρὸς τίνα.
*what way we-two must-turn and to whom*
ΝΙΚΙΑΣ κράτιστ' ἐκείνην τὴν μόλωμεν ὦγαθέ.
*best that the let-us-go good-sir*
ΔΗΜΟΣΘΕΝΗΣ ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
*but not possible — — Paphlagon anything to-escape*
ἐφορᾷ γὰρ οὗτος πάντ'. ἔχει γὰρ τὸ σκέλος
*oversees for this all-things he-has for the leg*
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇκκλησίᾳ.
*the one in Pylos the and other in the-assembly*
τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος
*so-great and of-him stride having-straddled*
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν,
*the ass is the-thing-itself among Chaonians*
τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
*the hands among Aetolians the mind and in Thievingham*
ΝΙΚΙΑΣ κράτιστον οὖν νῷν ἀποθανεῖν.
*best then for-us-two to-die*
ΔΗΜΟΣΘΕΝΗΣ ἀλλὰ σκόπει,
*but look*
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.
*how — we-may-die most-manfully*
ΝΙΚΙΑΣ πῶς δῆτα πῶς γένοιτ' ἂν ἀνδρικώτατα;
*how then how could-it-be — most-manfully*
βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
*best for-us blood bull's to-drink*

ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.
*the of-Themistocles for death more-desirable*

ΔΗΜΟΣΘΕΝΗΣ μὰ Δί᾽ ἀλλ᾽ ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος.
*by Zeus but unmixed wine of-the-good god*

ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
*perhaps for — useful something we-might-plan*

ΝΙΚΙΑΣ ἰδού γ᾽ ἄκρατον. περὶ πότου γοῦν ἐστί σοι;
*look at-least unmixed about drinking at-least is to-you*

πῶς δ᾽ ἂν μεθύων χρηστόν τι βουλεύσαιτ᾽ ἀνήρ;
*how and — drunk useful something could-plan man*

ΔΗΜΟΣΘΕΝΗΣ ἄληθες οὗτος; κρουνοχυτρολήραιον εἶ.
*really you water-jug-babbling are*

οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
*wine you dare as-to resourcefulness to-abuse*

οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
*than-wine for you-could-find — anything more-effective*

ὁρᾷς, ὅταν πίνωσιν ἄνθρωποι τότε
*you-see when drink men then*

πλουτοῦσι διαπράττουσι νικῶσιν δίκας
*they-are-rich they-get-things-done they-win suits*

εὐδαιμονοῦσιν ὠφελοῦσι τοὺς φίλους.
*they-prosper they-help the friends*

ἀλλ᾽ ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ,
*but bring-out for-me quickly of-wine pitcher*

τὸν νοῦν ἵν᾽ ἄρδω καὶ λέγω τι δεξιόν.
*the mind so-that I-may-water and may-say something clever*

ΝΙΚΙΑΣ οἴμοι τί ποθ᾽ ἡμᾶς ἐργάσει τῷ σῷ πότῳ;
*ah-me what ever us will-you-do with-the your drinking*

ΔΗΜΟΣΘΕΝΗΣ ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
*good-things but bring I and will-lie-down*
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
*if for I-get-drunk all these-here I-will-sprinkle*
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων.
*with-little-plans and little-maxims and little-notions*
ΝΙΚΙΑΣ ὡς εὐτυχῶς ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
*how luckily that not I-was-caught inside*
κλέπτων τὸν οἶνον. ΔΗΜΟΣΘΕΝΗΣ εἰπέ μοι Παφλαγὼν τί δρᾷ;
*stealing the wine tell me Paphlagon what is-he-doing*
ΝΙΚΙΑΣ ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
*cakes having-licked confiscated the jealous-one*
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.
*snores drunk in the hides on-his-back*
ΔΗΜΟΣΘΕΝΗΣ ἴθι νυν ἄκρατον ἐγκάναξόν μοι πολὺν
*come now unmixed pour for-me much*
σπονδήν. ΝΙΚΙΑΣ λαβὲ δὴ καὶ σπεῖσον ἀγαθοῦ δαίμονος.
*libation take now and pour of-the-good god*
ΔΗΜΟΣΘΕΝΗΣ ἕλχ' ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.
*draw draw the of-the god the Pramnian*
ὦ δαῖμον ἀγαθὲ σὸν τὸ βούλευμ', οὐκ ἐμόν.
*O god good your the plan not mine*
ΝΙΚΙΑΣ εἶπ', ἀντιβολῶ, τί ἔστι; ΔΗΜΟΣΘΕΝΗΣ τοὺς χρησμοὺς ταχὺ
*tell I-beg what is-it the oracles quickly*
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
*stealing bring — of-Paphlagon from-inside*
ἕως καθεύδει. ΝΙΚΙΑΣ ταῦτ'. ἀτὰρ τοῦ δαίμονος
*while he-sleeps these but of-the god*
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
*I-fear — lest I-shall-meet-with an-evil-one*

ΔΗΜΟΣΘΕΝΗΣ φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χοᾶ.
*come now I to-myself let-me-bring the pitcher*
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
*the mind so-that I-may-water and may-say something clever*
ΝΙΚΙΑΣ ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκεται,
*how loud — Paphlagon farts and snores*
ὥστ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβών,
*so-that I-escaped him the holy oracle having-taken*
ὅνπερ μάλιστ' ἐφύλαττεν. ΔΗΜΟΣΘΕΝΗΣ ὦ σοφώτατε.
*which most he-was-guarding O wisest*
φέρ' αὐτὸν ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
*bring it so-that I-may-read you and pour to-drink*
ἀνύσας τι. φέρ' ἴδω τί ἄρ' ἔνεστιν αὐτόθι.
*quickly something come let-me-see what then is-in there*
ὦ λόγια. δός μοι δὸς τὸ ποτήριον ταχύ.
*O oracles give me give the cup quickly*
ΝΙΚΙΑΣ ἰδού. τί φησ' ὁ χρησμός; ΔΗΜΟΣΘΕΝΗΣ ἑτέραν ἔγχεον.
*look what says the oracle another pour*
ΝΙΚΙΑΣ ἐν τοῖς λογίοις ἔνεστιν "ἑτέραν ἔγχεον;"
*in the oracles is-in another pour*
ΔΗΜΟΣΘΕΝΗΣ ὦ Βάκι. ΝΙΚΙΑΣ τί ἔστι;
*O Bacis what is-it*
ΔΗΜΟΣΘΕΝΗΣ δὸς τὸ ποτήριον ταχύ.
*give the cup quickly*
ΝΙΚΙΑΣ πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.
*much at-least — Bacis used the cup*
ΔΗΜΟΣΘΕΝΗΣ ὦ μιαρὲ Παφλαγὼν ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
*O foul Paphlagon this then you-were-guarding long-since*
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν; ΝΙΚΙΑΣ τιή;
*the about yourself oracle dreading why*

ΔΗΜΟΣΘΕΝΗΣ ἐνταῦθ᾽ ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.
*here is-in himself how he-is-destroyed*

ΝΙΚΙΑΣ καὶ πῶς; ΔΗΜΟΣΘΕΝΗΣ ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει
*and how how the oracle straight says*

ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,
*that first indeed tow-seller arises*

ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.
*who first will-have of-the city the affairs*

ΝΙΚΙΑΣ εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
*one this-here seller what the-next say*

ΔΗΜΟΣΘΕΝΗΣ μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
*after this-one again sheep-seller second*

ΝΙΚΙΑΣ δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
*two these sellers and what this-one must suffer*

ΔΗΜΟΣΘΕΝΗΣ κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
*to-rule until another man more-loathsome*

αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ᾽ ἀπόλλυται.
*than-him should-arise after and this he-is-destroyed*

ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγών,
*succeeds for leather-seller — Paphlagon*

ἅρπαξ κεκράκτης Κυκλοβόρου φωνὴν ἔχων.
*robber bawler of-Cycloborus voice having*

ΝΙΚΙΑΣ τὸν προβατοπώλην ἦν ἄρ᾽ ἀπολέσθαι χρεὼν
*the sheep-seller was then to-perish fated*

ὑπὸ βυρσοπώλου; ΔΗΜΟΣΘΕΝΗΣ νὴ Δί᾽. ΝΙΚΙΑΣ οἴμοι δείλαιος.
*by leather-seller by Zeus ah-me wretched*

πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
*whence then — still could-arise seller one only*

ΔΗΜΟΣΘΕΝΗΣ ἔτ᾽ ἐστὶν εἷς ὑπερφυᾶ τέχνην ἔχων.
*still is one extraordinary trade having*

ΝΙΚΙΑΣ εἶπ', ἀντιβολῶ, τίς ἐστιν; ΔΗΜΟΣΘΕΝΗΣ εἴπω; ΝΙΚΙΑΣ νὴ Δία.
*tell I-beg who is-he shall-I-tell by Zeus*

ΔΗΜΟΣΘΕΝΗΣ ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξολῶν.
*sausage-seller is the this-one about-to-destroy*

ΝΙΚΙΑΣ ἀλλαντοπώλης; ὦ Πόσειδον τῆς τέχνης.
*sausage-seller O Poseidon of-the trade*

φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν; 145
*come where the man this shall-we-find*

ΔΗΜΟΣΘΕΝΗΣ ζητῶμεν αὐτόν. ΝΙΚΙΑΣ ἀλλ' ὁδὶ προσέρχεται
*let-us-seek him but this-here approaches*

ὥσπερ κατὰ θεὸν εἰς ἀγοράν. ΔΗΜΟΣΘΕΝΗΣ ὦ μακάριε
*as-if by god into market O blessed*

ἀλλαντοπῶλα, δεῦρο δεῦρ' ὦ φίλτατε
*sausage-seller here here O dearest*

ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.
*come-up savior to-the city and to-us-two appearing*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί ἔστι; τί με καλεῖτε; 150
*what is-it why me do-you-call*

ΔΗΜΟΣΘΕΝΗΣ δεῦρ' ἔλθ', ἵνα πύθῃ
*here come so-that you-may-learn*

ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
*how lucky you-are and greatly you-prosper*

ΝΙΚΙΑΣ ἴθι δὴ κάθελ' αὐτοῦ τοὐλεὸν καὶ τοῦ θεοῦ
*come now take-down here the-tray and of-the god*

τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
*the oracle teach him how it-is*

ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
*I and going will-watch-for — Paphlagon*

ΔΗΜΟΣΘΕΝΗΣ ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
*come now you set-down first the gear on-the-ground*
ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς.
*then the earth worship and the gods*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἰδού· τί ἔστιν; ΔΗΜΟΣΘΕΝΗΣ ὦ μακάρι᾽ ὦ πλούσιε,
*look what is-it O blessed O rich*
ὦ νῦν μὲν οὐδεὶς αὔριον δ᾽ ὑπέρμεγας,
*O now indeed nobody tomorrow and enormous*
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.
*O — of-Athens commander of-the prosperous*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί μ᾽ ὦγάθ᾽ οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
*why me good-sir not to-wash you-let the tripes*
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;
*to-sell and the sausages but you-mock*
ΔΗΜΟΣΘΕΝΗΣ ὦ μῶρε ποίας κοιλίας; δευρὶ βλέπε.
*O fool what tripes here look*
τὰς στίχας ὁρᾷς τὰς τῶνδε τῶν λαῶν; ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὁρῶ.
*the ranks do-you-see the of-these the peoples I-see*
ΔΗΜΟΣΘΕΝΗΣ τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
*of-these all yourself chief you-will-be*
καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς πυκνός·
*and of-the market and of-the harbors and — of-Pnyx*
βουλὴν πατήσεις καὶ στρατηγοὺς κλαστάσεις,
*council you-will-trample and generals you-will-clip*
δήσεις φυλάξεις, ἐν πρυτανείῳ λαικάσει.
*you-will-bind you-will-guard in prytaneum you-will-suck-cock*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγώ; ΔΗΜΟΣΘΕΝΗΣ σὺ μέντοι·
*I* *you* *however*
κοὐδέπω γε πάνθ' ὁρᾷς.
*and-not-yet* *at-least* *all-things* *you-see*
ἀλλ' ἐπανάβηθι καὶπὶ τοὐλεὸν τοδὶ
*but* *climb-up* *and-onto* *the-tray* *this-here*
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
*and* *look-down-on* *the* *islands* *all* *in* *circle*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καθορῶ. ΔΗΜΟΣΘΕΝΗΣ τί δαί;
*I-see-down* *what* *then*
τἀμπόρια καὶ τὰς ὁλκάδας;
*the-trading-posts* *and* *the* *merchant-ships*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἔγωγε.
*I-at-least*
ΔΗΜΟΣΘΕΝΗΣ πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
*how* *then* *not* *greatly* *do-you-prosper*
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' ἐς Καρίαν
*still* *now* *the* *eye* *cast* *to* *Caria*
τὸν δεξιόν, τὸν δ' ἕτερον ἐς Καρχηδόνα.
*the* *right* *the* *and* *other* *to* *Carthage*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ εὐδαιμονήσω δ' εἰ διαστραφήσομαι;
*I-shall-prosper* *and* *if* *I-become-squint-eyed*
ΔΗΜΟΣΘΕΝΗΣ οὐκ ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
*no* *but* *through* *you* *these* *all* *are-sold*
γίγνει γάρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
*you-become* *for* *as* *the* *oracle* *this-here* *says*
ἀνὴρ μέγιστος. ΑΛΛΑΝΤΟΠΩΛΗΣ εἰπέ μοι καὶ πῶς ἐγὼ
*man* *greatest* *tell* *me* *and* *how* *I*
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;
*sausage-seller* *being* *man* *shall-become*

ΔΗΜΟΣΘΕΝΗΣ δι᾽ αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
*through very for surely this also you-become great*
ὁτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.
*because wicked and-from market you-are and bold*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐκ ἀξιῶ ᾽γὼ ᾽μαυτὸν ἰσχύειν μέγα.
*not I-think-worthy I myself to-be-strong great*
ΔΗΜΟΣΘΕΝΗΣ οἴμοι τί ποτ᾽ ἔσθ᾽ ὅτι σαυτὸν οὐ φὴς ἄξιον;
*ah-me what ever is-it that yourself not you-say worthy*
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
*to-be-conscious-of something to-me you-seem in-yourself good*
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; ΑΛΛΑΝΤΟΠΩΛΗΣ μὰ τοὺς θεούς
*surely-not from fine are-you and-good by the gods*
εἰ μὴ ᾽κ πονηρῶν γ᾽. ΔΗΜΟΣΘΕΝΗΣ ὦ μακάριε τῆς τύχης
*if not from wicked at-least O blessed of-the fortune*
ὅσον πέπονθας ἀγαθὸν ἐς τὰ πράγματα.
*how-much you-have-had good for the affairs*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ᾽ ὦγάθ᾽ οὐδὲ μουσικὴν ἐπίσταμαι
*but good-sir not-even music I-know*
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
*except letters and these however badly badly*
ΔΗΜΟΣΘΕΝΗΣ τουτὶ μόνον σ᾽ ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.
*this-here only you hurt that also badly badly*
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
*the leadership-of-the-people for not for of-musical*
ἔτ᾽ ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους,
*still is man nor of-good the ways*
ἀλλ᾽ εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
*but for ignorant and loathsome but not let-pass*
ἃ σοι διδόασ᾽ ἐν τοῖς λογίοισιν οἱ θεοί.
*what to-you give in the oracles the gods*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ πῶς δῆτά φησ᾽ ὁ χρησμός;
*how then says the oracle*

ΔΗΜΟΣΘΕΝΗΣ εὖ νὴ τοὺς θεοὺς
*well by the gods*

καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος·
*and intricately somehow and wisely riddled*

ἀλλ᾽ ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχήλης
*but when seizes leather-eagle crooked-taloned*

γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
*with-jaws serpent stupid blood-drinking*

δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη,
*indeed then of-Paphlagonians indeed is-destroyed the garlic-brine*

κοιλιοπώλῃσιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
*to-tripe-sellers and god great glory grants*

αἴ κεν μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
*if — not to-sell sausages rather they-choose*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ πῶς οὖν πρὸς ἐμὲ ταῦτ᾽ ἐστίν; ἀναδίδασκέ με.
*how then to me these are teach me*

ΔΗΜΟΣΘΕΝΗΣ βυρσαίετος μὲν ὁ Παφλαγών ἐσθ᾽ οὑτοσί.
*leather-eagle indeed — Paphlagon is this-here*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί δ᾽ ἀγκυλοχήλης ἐστίν;
*what and crooked-taloned is*

ΔΗΜΟΣΘΕΝΗΣ αὐτό που λέγει,
*it somehow says*

ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
*that crooked with-the hands snatching he-carries*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὁ δράκων δὲ πρὸς τί;
*the serpent and to what*

ΔΗΜΟΣΘΕΝΗΣ τοῦτο περιφανέστατον.
*this most-evident*

ὁ δράκων γάρ ἐστι μακρὸν ὅ τ᾽ ἀλλᾶς αὖ μακρόν.
*the serpent for is long the and sausage in-turn long*

εἶθ᾽ αἱματοπώτης ἔσθ᾽ ὅ τ᾽ ἀλλᾶς χὠ δράκων·
*then blood-drinking is the and sausage and-the serpent*

τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
*the then serpent he-says the leather-eagle*

ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις.
*now to-overcome if — not he-is-softened by-words*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὰ μὲν λόγι᾽ αἰκάλλει με· θαυμάζω δ᾽ ὅπως
*the indeed oracles flatter me I-wonder and how*

τὸν δῆμον οἷός τ᾽ ἐπιτροπεύειν εἴμ᾽ ἐγώ.
*the people able — to-govern am I*

ΔΗΜΟΣΘΕΝΗΣ φαυλότατον ἔργον· ταῦθ᾽ ἅπερ ποιεῖς ποίει·
*easiest task these which-indeed you-do do*

τάραττε καὶ χόρδευ᾽ ὁμοῦ τὰ πράγματα
*stir and make-sausage together the affairs*

ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ
*all and the people always win-over*

ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
*sweetening with-little-phrases cook-like*

τὰ δ᾽ ἄλλα σοι πρόσεστι δημαγωγικά,
*the and other-things to-you are-at-hand demagogic*

φωνὴ μιαρά, γέγονας κακῶς, ἀγοραῖος εἶ·
*voice foul you-were-born badly market-bred you-are*

ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
*you-have all for statesmanship which is-needed*

χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
*oracles and agree and the Pythian*

ἀλλὰ στεφανοῦ καὶ σπένδε τῷ Κοαλέμῳ·
*but garland-yourself and pour-libation to-the Stupidity*

χὤπως ἀμυνεῖ τὸν ἄνδρα. ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ τίς ξύμμαχος
*and-see-that you-will-fight-off the man and who ally*

γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
*will-be for-me and for the both rich*

δεδίασιν αὐτὸν ὅ τε πένης βδύλλει λεώς.
*fear him the and poor farts people*

ΔΗΜΟΣΘΕΝΗΣ ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι
*but there-are knights men good thousand*

μισοῦντες αὐτόν, οἳ βοηθήσουσί σοι,
*hating him who will-help you*

καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί,
*and of-the citizens the fine both and-good*

καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός,
*and of-the spectators whoever is clever*

κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
*and-I with them and-the god will-lend-a-hand*

καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξηκασμένος,
*and not fear not for is portrayed*

ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελεν
*from the fear for him no-one was-willing*

τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
*of-the mask-makers to-portray in-any-case at-least truly*

γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.
*he-will-be-recognized the for audience clever*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἴμοι κακοδαίμων ὁ Παφλαγὼν ἐξέρχεται.
*ah-me ill-starred — Paphlagon comes-out*

ΚΛΕΩΝ οὔτοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
*surely-not by the twelve gods you-two-will-rejoice*
ὁτιὴ ᾽πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
*because against the people you-two-conspire long-since*
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
*this-here what does the Chalcidian cup*
οὐκ ἔσθ᾽ ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
*not it-is how not Chalcidians you-two-incite-to-revolt*
ἀπολεῖσθον ἀποθανεῖσθον ὦ μιαρωτάτω.
*you-two-will-perish you-two-will-die O foulest-pair*
ΔΗΜΟΣΘΕΝΗΣ οὗτος τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα
*you why do-you-flee not will-you-stay O noble-one*
ἀλλαντοπῶλα μὴ προδῷς τὰ πράγματα.
*sausage-seller not betray the affairs*

## II · THE KNIGHTS CHARGE

*The chorus of knights charges in to beat the Paphlagonian, a villain, tax-farmer, and Charybdis of plunder. He calls on the old jurors he feeds, and the knights charge him with fleecing officials and harassing the timid rich. The Paphlagonian accuses the Sausage-seller of shipping sauces to the enemy's fleet, and the Sausage-seller counters that the Paphlagonian runs into the prytaneum empty and out full.*

ΔΗΜΟΣΘΕΝΗΣ ἄνδρες ἱππῆς παραγένεσθε· νῦν
*men knights be-present now*
ὁ καιρός. ὦ Σίμων,
*the moment O Simon*
ὦ Παναίτι᾽ οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
*O Panaetius not will-you-ride to the right wing*
ἄνδρες ἐγγύς. ἀλλ᾽ ἀμύνου κἀπαναστρέφου πάλιν.
*the-men near but fight-off and-turn-around back*

ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προσκειμένων.
*the dust plain of-them how together pressing*
ἀλλ' ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.
*but fight-off and pursue and rout of-him make*
ΧΟΡΟΣ ΙΠΠΕΩΝ παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον
*strike strike the villain and horse-army-confounder*
καὶ τελώνην καὶ φάραγγα καὶ Χάρυβδιν ἁρπαγῆς,
*and tax-collector and ravine and Charybdis of-robbery*
καὶ πανοῦργον καὶ πανοῦργον· πολλάκις γὰρ αὖτ' ἐρῶ.
*and villain and villain many-times for it I-will-say*
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
*and for this was villain many-times of-the day*
ἀλλὰ παῖε καὶ δίωκε καὶ τάραττε καὶ κύκα
*but strike and pursue and confound and stir*
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα·
*and loathe and for we and-pressing-on shout*
εὐλαβοῦ δὲ μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδούς,
*take-care and lest escapes you and for he-knows the ways*
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.
*which Eucrates fled straight-for the bran*
ΚΛΕΩΝ ὦ γέροντες ἡλιασταί, φράτερες τριωβόλου,
*O old-men jurors brothers of-three-obols*
οὓς ἐγὼ βόσκω κεκραγὼς καὶ δίκαια κἄδικα,
*whom I feed shouting both just-things and-unjust*
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
*help since by men I-am-beaten conspiring*
ΧΟΡΟΣ ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις,
*in justice at-least since the common before getting-the-lot you-eat-up*
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν,
*and-you-fig-pluck squeezing the accountable-officers watching*

ὅστις αὐτῶν ὠμός ἐστιν ἢ πέπων ἢ μὴ πέπων,
*who of-them raw is or ripe or not ripe*
κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
*and-if any of-them you-know unbusy being and gaping*
καταγαγὼν ἐκ Χερρονήσου διαβαλὼν ἀγκυρίσας
*bringing-down from Chersonese slandering hooking*
εἶτ' ἀποστρέψας τὸν ὦμον αὐτὸν ἐνεκολήβασας·
*then twisting-back the shoulder him you-threw*
καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
*and you-watch at-least of-the citizens who is lamb-minded*
πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα.
*rich and not wicked and trembling-at the affairs*
ΚΛΕΩΝ ξυνεπίκεισθ' ὑμεῖς; ἐγὼ δ' ἄνδρες δι' ὑμᾶς τύπτομαι,
*you-press-together you I and men because-of you am-beaten*
ὅτι λέγειν γνώμην ἔμελλον ὡς δίκαιον ἐν πόλει
*because to-speak opinion I-was-about that just in city*
ἑστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρείας χάριν.
*to-stand memorial of-you is of-manliness for-the-sake*
ΧΟΡΟΣ ὡς δ' ἀλαζών, ὡς δὲ μάσθλης· εἶδες οἷ' ὑπέρχεται
*how and impostor how and lump-of-leather you-saw what-way he-fawns*
ὡσπερεὶ γέροντας ἡμᾶς καὶ κοβαλικεύεται;
*as-if old-men us and plays-the-rogue*
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται·
*but if this-way at-least he-wins this-here-way he-will-be-struck*
ἢν δ' ὑπεκκλίνῃ γε δευρί, τὸ σκέλος κυρηβάσει.
*if and he-dodges at-least here the leg he-will-trip*
ΚΛΕΩΝ ὦ πόλις καὶ δῆμ' ὑφ' οἵων θηρίων γαστρίζομαι.
*O city and people by what beasts I-am-belly-punched*
ΧΟΡΟΣ καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφει;
*and you-shout as always the city you-overturn*

ΚΛΕΩΝ ἀλλ᾽ ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.
*but I you with-the shout this at-least first will-rout*

ΧΟΡΟΣ ἀλλ᾽ ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
*but if however at-least you-win with-the shout tenella you-are*

ἢν δ᾽ ἀναιδείᾳ παρέλθῃ σ᾽, ἡμέτερος ὁ πυραμοῦς.
*if and in-shamelessness passes you ours the cake*

ΚΛΕΩΝ τουτονὶ τὸν ἄνδρ᾽ ἐγὼ ᾽νδείκνυμι, καὶ φήμ᾽ ἐξάγειν
*this-here the man I denounce and say to-export*

ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.
*to-the of-Peloponnesians triremes sauces*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
*yes by Zeus and-I this-one that with-empty the belly*

ἐσδραμὼν ἐς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
*running-in into the prytaneum then back runs-out full*

ΔΗΜΟΣΘΕΝΗΣ νὴ Δί᾽ ἐξάγων γε τἀπόρρηθ᾽,
*by Zeus exporting at-least the-forbidden-things*

ἅμ᾽ ἄρτον καὶ κρέας
*together bread and meat*

καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.
*and fish-slice which Pericles not was-deemed-worthy ever*

## III · THE SHOUTING MATCH

*The Paphlagonian and the Sausage-seller try to outshout each other with threats, boasts of what they will eat and whom they will throttle, and charges of theft, bribery, and accursed descent. The Sausage-seller tells how he stole meat as a boy; after threats of storm and sail he beats the Paphlagonian with his guts, and the knights hail him as the city's savior.*

ΚΛΕΩΝ ἀποθανεῖσθον αὐτίκα μάλα.
*you-two-will-die at-once very*

285 ΑΛΛΑΝΤΟΠΩΛΗΣ τριπλάσιον κεκράξομαί σου.
*three-times-as-loud I-will-shout than-you*

ΚΛΕΩΝ καταβοήσομαι βοῶν σε.
*I-will-shout-down shouting you*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ κατακεκράξομαί σε κράζων.
*I-will-out-shout you screaming*

ΚΛΕΩΝ διαβαλῶ σ' ἐὰν στρατηγῇς.
*I-will-slander you if you-are-general*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ κυνοκοπήσω σου τὸ νῶτον.
*I-will-dog-beat of-you the back*

290 ΚΛΕΩΝ περιελῶ σ' ἀλαζονείαις.
*I-will-surround you with-impostures*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὑποτεμοῦμαι τὰς ὁδούς σου.
*I-will-cut-off the ways of-you*

ΚΛΕΩΝ βλέψον ἔς μ' ἀσκαρδάμυκτος.
*look at me unblinking*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.
*in market I-too was-reared*

ΚΛΕΩΝ διαφορήσω σ' εἴ τι γρύξει.
*I-will-tear-apart you if at-all you-grunt*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ κοπροφορήσω σ' εἰ λαλήσεις.
*I-will-cart-off-as-dung you if you-chatter*

ΚΛΕΩΝ ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί.
*I-admit to-steal you and not*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον,
*by — Hermes the of-the-market*

κἀπιορκῶ γε βλεπόντων.
*and-perjure at-least while-they-watch*

ΚΛΕΩΝ ἀλλότρια τοίνυν σοφίζει,
*others' well-then you-play-the-sophist*

καὶ φανῶ σε τοῖς πρυτάνεσιν
*and I-will-denounce you to-the prytanes*

ἀδεκατεύτους τῶν θεῶν ἱερὰς
*untithed of-the gods holy*

ἔχοντα κοιλίας.
*having tripes*

ΧΟΡΟΣ ὦ μιαρὲ καὶ βδελυρὲ †καὶ κεκράκτα†, τοῦ σοῦ θράσους
*O foul and loathsome and bawler of-the your boldness*

πᾶσα μὲν γῆ πλέα, πᾶσα δ' ἐκκλησία, καὶ τέλη
*all indeed earth full all and assembly and offices*

καὶ γραφαὶ καὶ δικαστήρι', ὦ βορβοροτάραξι καὶ
*and indictments and courts O mud-stirrer and*

τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς,
*the city all our having-thrown-into-confusion*

ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφωκας βοῶν,
*who our — Athens have-deafened shouting*

κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.
*and-from the rocks above the tributes tunny-watching*

ΚΛΕΩΝ οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.
*know I the matter this whence long-since is-cobbled*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ εἰ δὲ μὴ σύ γ' οἶσθα
*if and not you at-least know*
κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
*cobbling nor I sausages*
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς
*who cutting-thin you-sold hide of-wretched ox*
τοῖς ἀγροίκοισιν πανούργως, ὥστε φαίνεσθαι παχύ,
*to-the countrymen villainously so-as to-appear thick*
καὶ πρὶν ἡμέραν φορῆσαι μεῖζον ἦν δυοῖν δοχμαῖν.
*and before day to-wear larger was by-two spans*
ΔΗΜΟΣΘΕΝΗΣ νὴ Δία κἀμὲ τοῦτ' ἔδρασε ταὐτόν, ὥστε κατάγελων
*by Zeus and-me this did the-same so-that mockery*
πάμπολυν τοῖς δημόταισι καὶ φίλοις παρασχεθεῖν·
*very-great to-the demesmen and friends to-furnish*
πρὶν γὰρ εἶναι Περγασῆσιν ἔνεον ἐν ταῖς ἐμβάσιν.
*before for to-be at-Pergasae I-was-swimming in the shoes*
ΧΟΡΟΣ ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς ἐδήλους ἀναίδειαν,
*— then not from beginning did-you-show shamelessness*
ἥπερ μόνη προστατεῖ ῥητόρων;
*which-indeed alone champions speakers*
ᾗ σὺ πιστεύων ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους,
*in-which you trusting milk of-the foreigners the fruitful*
πρῶτος ὤν· ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.
*first being the and of-Hippodamus melts watching*
ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
*but appeared for man another much*
σοῦ μιαρώτερος, ὥστε με χαίρειν,
*than-you fouler so-that me to-rejoice*
ὅς σε παύσει καὶ πάρεισι, δῆλός ἐστιν αὐτόθεν,
*who you will-stop and will-pass plain is from-the-start*

πανουργίᾳ τε καὶ θράσει
*in-villainy both and boldness*
καὶ κοβαλικεύμασιν.
*and in-roguish-tricks*
ἀλλ᾽ ὦ τραφεὶς ὅθενπέρ εἰσιν ἄνδρες οἵπερ εἰσίν,
*but O reared whence-indeed are men who-indeed are*
νῦν δεῖξον ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.
*now show that nothing means the soberly to-be-reared*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ μὴν ἀκούσαθ᾽ οἷός ἐστιν οὑτοσὶ πολίτης. 335
*and truly bear what-sort is this-here citizen*
ΚΛΕΩΝ οὐκ αὖ μ᾽ ἐάσεις;
*not in-turn me will-you-let*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ μὰ Δί᾽ ἐπεὶ κἀγὼ πονηρός εἰμι.
*by Zeus since and-I wicked am*
ΧΟΡΟΣ ἐὰν δὲ μὴ ταύτῃ γ᾽ ὑπείκῃ, λέγ᾽ ὅτι κἀκ πονηρῶν.
*if and not this-way at-least he-yields say that and-from wicked*
ΚΛΕΩΝ οὐκ αὖ μ᾽ ἐάσεις; ΑΛΛΑΝΤΟΠΩΛΗΣ μὰ Δία. ΚΛΕΩΝ ναὶ
*not in-turn me will-you-let by Zeus yes*
μὰ Δία. ΑΛΛΑΝΤΟΠΩΛΗΣ μὰ τὸν Ποσειδῶ.
*by Zeus by — Poseidon*
ἀλλ᾽ αὐτὸ περὶ τοῦ πρότερος εἰπεῖν πρῶτα διαμαχοῦμαι.
*but itself about the first to-speak first I-will-fight*
ΚΛΕΩΝ οἴμοι διαρραγήσομαι. 340
*ah-me I-shall-burst*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ μὴν ἐγὼ οὐ παρήσω.
*and truly I not will-let-pass*
ΧΟΡΟΣ πάρες πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.
*let let by the gods him to-burst*
ΚΛΕΩΝ τῷ καὶ πεποιθὼς ἀξιοῖς ἐμοῦ λέγειν ἔναντα;
*in-what and trusting do-you-think-fit me to-speak against*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὁτιὴ λέγειν οἷός τε κἀγὼ καὶ καρυκοποιεῖν.
*because to-speak able — and-I and to-make-sauces*

ΚΛΕΩΝ ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν
*look to-speak well at-least — then*
σὺ πρᾶγμα προσπεσόν σοι
*you matter falling-to you*
ὠμοσπάρακτον παραλαβὼν μεταχειρίσαιο χρηστῶς.
*raw-torn taking would-handle usefully*
ἀλλ' οἶσθ' ὅπερ πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
*but you-know what-indeed to-have-suffered you-seem what-indeed the crowd*
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου,
*if somewhere little-suit you-pleaded well against foreign metic*
τὴν νύκτα θρυλῶν καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,
*the night muttering and chattering in the streets to-yourself*
ὕδωρ τε πίνων κἀπιδεικνὺς τοὺς φίλους τ' ἀνιῶν,
*water and drinking and-showing-off the friends and annoying*
ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.
*you-thought able to-be to-speak O fool of-the folly*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ
*what then you drinking the city have-made so-that now*
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;
*by you alone tongue-lashed to-be-silent*

ΚΛΕΩΝ ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅστις εὐθὺς
*me for did-you-set-against of-men whom who at-once*
θύννεια θερμὰ καταφαγών, κᾆτ' ἐπιπιὼν ἀκράτου
*tunny-slices hot having-eaten-up and-then drinking-after of-unmixed*
οἴνου χοᾶ κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.
*of-wine pitcher will-fuck-over the in Pylos generals*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
*I and at-least maw of-ox and belly pig's*
καταβροχθίσας κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος
*having-gulped-down and-then drinking-after the broth unwashed*
λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.
*will-throttle the speakers and Nicias will-confound*
ΧΟΡΟΣ τὰ μὲν ἄλλα μ' ἤρεσας
*the indeed other-things me you-pleased*
λέγων· ἓν δ' οὐ προσίεταί με,
*saying one and not pleases me*
τῶν πραγμάτων ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσει. 360
*of-the affairs because alone the broth will-gulp-down*
ΚΛΕΩΝ ἀλλ' οὐ λάβρακας καταφαγὼν Μιλησίους κλονήσεις.
*but not sea-bass having-eaten-up Milesians you-will-shake*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.
*but ribs having-eaten I-will-buy mines*
ΚΛΕΩΝ ἐγὼ δ' ἐπεσπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.
*I and leaping-in at-least the council by-force will-stir*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ κινήσω γέ σου
*I and will-move at-least of-you*
τὸν πρωκτὸν ἀντὶ φύσκης.
*the ass instead-of sausage*
ΚΛΕΩΝ ἐγὼ δέ γ' ἐξέλξω σε τῆς πυγῆς θύραζε κύβδα. 365
*I and at-least will-drag you by-the buttocks out-of-doors head-down*
ΧΟΡΟΣ νὴ τὸν Ποσειδῶ κἀμέ τἄρ', ἤνπερ γε τοῦτον ἕλκῃς.
*by — Poseidon and-me then if-indeed at-least this-one you-drag*
ΚΛΕΩΝ οἷόν σε δήσω 'ν' τῷ ξύλῳ.
*how you I-will-bind in the stocks*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ διώξομαί σε δειλίας.
*I-will-prosecute you for-cowardice*

ΚΛΕΩΝ ἡ βύρσα σου θρανεύσεται.
*the hide of-you will-be-stretched-on-the-bench*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ δερῶ σε θύλακον κλοπῆς.
*I-will-flay you bag of-theft*

ΚΛΕΩΝ διαπατταλευθήσει χαμαί.
*you-will-be-pegged-out on-the-ground*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ περικόμματ᾽ ἔκ σου σκευάσω.
*mincemeat from you I-will-make*

ΚΛΕΩΝ τὰς βλεφαρίδας σου παρατιλῶ.
*the eyelashes of-you I-will-pluck-off*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὸν πρηγορεῶνά σοὐκτεμῶ.
*the crop of-you-I-will-cut-out*

ΔΗΜΟΣΘΕΝΗΣ καὶ νὴ Δί᾽ ἐμβαλόντες αὐτῷ
*and by Zeus having-thrust-in him*

πάτταλον μαγειρικῶς
*peg cook-like*

ἐς τὸ στόμ᾽, εἶτα δ᾽ ἔνδοθεν
*into the mouth then and from-inside*

τὴν γλῶτταν ἐξείραντες αὐτοῦ
*the tongue having-pulled-out of-him*

σκεψόμεσθ᾽ εὖ κἀνδρικῶς
*we-will-look-at well and-manfully*

κεχηνότος
*gaping*

τὸν πρωκτὸν εἰ χαλαζᾷ.
*the ass whether he-has-measles*

ΧΟΡΟΣ ἦν ἄρα πυρός γ᾽ ἕτερα θερμότερα καὶ λόγων
*there-were then than-fire at-least other hotter and words*

ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέστεροι· καὶ τὸ πρᾶγμ᾽
*in city than-the shameless more-shameless and the matter*

ἦν ἄρ᾽ οὐ φαῦλον ὦδ᾽ ∗∗∗ ἀλλ᾽ ἔπιθι καὶ στρόβει,
*was then not trivial so (lacuna) but go-at and twist*
μηδὲν ὀλίγον ποίει. νῦν γὰρ ἔχεται μέσος·
*nothing small do now for he-is-held round-the-middle*
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
*since if now you-soften him in the attack*
δειλὸν εὑρήσεις· ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι. 390
*coward you-will-find I for the ways know*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ᾽ ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
*but nevertheless this such being all the life*
κᾆτ᾽ ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
*and-then man seemed to-be the-others' reaping harvest*
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
*now and the ears those which from-there he-brought*
ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι βούλεται.
*in stocks binding he-dries and-to-sell wishes*
ΚΛΕΩΝ οὐ δέδοιχ᾽ ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον 395
*not I-fear you while — lives the council-house*
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.
*and the of-the people face is-moonstruck sitting*
ΧΟΡΟΣ ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται κοὐ μεθίστησι
*how and toward everything he-is-shameless and-not changes*
τοῦ χρώματος τοῦ παρεστηκότος.
*from-the color the present*
εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κῴδιον, 400
*if you not I-hate may-I-become in of-Cratinus fleece*
καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίᾳ.
*and may-I-be-taught to-sing-along in-Morsimus' tragedy*
ὦ περὶ πάντ᾽ ἐπὶ πᾶσί τε πράγμασι
*O over everything on all and affairs*

δωροδόκοισιν ἐπ᾽ ἄνθεσιν ἵζων,
*bribe-taking on flowers sitting*
εἴθε φαύλως ὥσπερ ηὗρες ἐκβάλοις τὴν ἔνθεσιν.
*would-that easily as you-found you-might-throw-up the mouthful*
ᾄσαιμι γὰρ τότ᾽ ἂν μόνον,
*I-would-sing for then — only*
"πῖνε πῖν᾽ ἐπὶ συμφοραῖς."
*drink drink on misfortunes*
τὸν Ἰουλίου τ᾽ ἂν οἴομαι γέροντα πυροπίπην
*the of-Iulius and — I-think old-man wheat-inspector*
ἡσθέντ᾽ ἰηπαιωνίσαι καὶ βακχέβακχον ᾄσαι.
*pleased to-sing-paean and Bacchus-Bacchus to-sing*
ΚΛΕΩΝ οὔτοί μ᾽ ὑπερβαλεῖσθ᾽ ἀναιδείᾳ μὰ τὸν Ποσειδῶ,
*surely-not me you-will-surpass in-shamelessness by — Poseidon*
ἢ μή ποτ᾽ ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.
*or not ever of-market Zeus at-the-innards may-I-be-present*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἔγωγε νὴ τοὺς κονδύλους
*I-at-least by the knuckles*
οὓς πολλὰ δὴ ᾽πὶ πολλοῖς
*which many indeed on many*
ἠνεσχόμην ἐκ παιδίων, μαχαιρίδων τε πληγάς,
*I-endured from childhood of-knives and blows*
ὑπερβαλεῖσθαί σ᾽ οἴομαι τούτοισιν, ἢ μάτην γ᾽ ἂν
*to-surpass you I-think with-these or in-vain at-least —*
ἀπομαγδαλιὰς σιτούμενος τοσοῦτος ἐκτραφείην.
*bread-crumbs eating so-big I-would-have-been-reared*
ΚΛΕΩΝ ἀπομαγδαλιὰς ὥσπερ κύων; ὦ παμπόνηρε πῶς οὖν
*bread-crumbs like dog O all-wicked how then*
κυνὸς βορὰν σιτούμενος μαχεῖ σὺ κυνοκεφάλλῳ;
*of-dog food eating will-you-fight you dog-headed*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ νὴ Δί᾽ ἄλλα γ᾽ ἐστί
*and by Zeus other at-least are*
μου κόβαλα παιδὸς ὄντος.
*my tricks boy being*
ἐξηπάτων γὰρ τοὺς μαγείρους ἐπιλέγων τοιαυτί·
*I-deceived for the cooks saying such-here*
"σκέψασθε παῖδες· οὐχ ὁρᾶθ᾽; ὥρα νέα, χελιδών."
*look boys not do-you-see season new swallow*
οἱ δ᾽ ἔβλεπον, κἀγὼ ᾽ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.
*they and looked and-I in-the meantime of-the meats was-stealing*
ΧΟΡΟΣ ὦ δεξιώτατον κρέας σοφῶς γε προὐνοήσω·
*O cleverest meat wisely at-least you-provided*
ὥσπερ ἀκαλήφας ἐσθίων πρὸ χελιδόνων ἔκλεπτες.
*like nettles eating before swallows you-stole*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ ταῦτα δρῶν ἐλάνθανόν γ᾽·
*and these doing I-escaped-notice at-least*
εἰ δ᾽ οὖν ἴδοι τις αὐτῶν,
*if and then saw any of-them*
ἀποκρυπτόμενος ἐς τὼ κοχώνα τοὺς θεοὺς ἀπώμνυν·
*hiding into the two-buttocks the gods I-swore-it-off*
ὥστ᾽ εἶπ᾽ ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
*so-that said man of-the speakers seeing me this doing*
"οὐκ ἔσθ᾽ ὅπως ὁ παῖς ὅδ᾽ οὐ τὸν δῆμον ἐπιτροπεύσει."
*not it-is how the boy this not the people will-govern*
ΧΟΡΟΣ εὖ γε ξυνέβαλεν αὖτ᾽· ἀτὰρ
*well at-least he-guessed it but*
δῆλόν γ᾽ ἀφ᾽ οὗ ξυνέγνω·
*plain at-least from what he-inferred*
ὁτιὴ ᾽πιώρκεις θ᾽ ἡρπακὼς καὶ κρέας ὁ πρωκτὸς εἶχεν.
*because you-perjured and having-stolen and meat the ass held*

ΚΛΕΩΝ ἐγώ σε παύσω τοῦ θράσους, οἶμαι δὲ μᾶλλον ἄμφω.
*I you will-stop of-the boldness I-think and rather both*
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιείς,
*I-will-come-out for against-you bright now and great letting-loose*
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.
*together confounding the both earth and the sea at-random*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ συστείλας γε
*I and having-furled at-least*
τοὺς ἀλλᾶντας εἶτ' ἀφήσω
*the sausages then will-let*
κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύσας.
*along wave myself fair to-weep you long having-bidden*
ΔΗΜΟΣΘΕΝΗΣ κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
*and-I if at-all it-leaks the bilge will-watch*
ΚΛΕΩΝ οὔτοι μὰ τὴν Δήμητρα καταπροίξει τάλαντα πολλὰ
*surely-not by — Demeter you-will-get-off-scot-free talents many*
κλέψας Ἀθηναίων. ΔΗΜΟΣΘΕΝΗΣ ἄθρει καὶ τοῦ ποδὸς παρίει·
*having-stolen of-Athenians watch and the sheet let-out*
ὡς οὗτος ἤδη καικίας καὶ συκοφαντίας πνεῖ.
*since this already northeaster and slander blows*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ σὲ δ' ἐκ Ποτειδαίας ἔχοντ'
*you and from Potidaea having*
εὖ οἶδα δέκα τάλαντα.
*well I-know ten talents*
ΚΛΕΩΝ τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;
*what then do-you-wish of-the talents one having-taken to-be-silent*
ΧΟΡΟΣ ἀνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει·
*the-man — gladly would-take the reefing-ropes let-out*
τὸ πνεῦμ' ἔλαττον γίγνεται.
*the wind less becomes*

ΚΛΕΩΝ φεύξει γραφὰς ***
*you-will-be-prosecuted suits (lacuna)*

ἑκατονταλάντους τέτταρας.
*hundred-talent four*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ σὺ δ' ἀστρατείας γ' εἴκοσιν,
*you and for-desertion at-least twenty*

κλοπῆς δὲ πλεῖν ἢ χιλίας.
*for-theft and more than thousand*

ΚΛΕΩΝ ἐκ τῶν ἀλιτηρίων σέ φημι
*from the accursed you I-say*

γεγονέναι τῶν τῆς θεοῦ.
*to-have-been-born the of-the goddess*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὸν πάππον εἶναί φημί σου
*the grandfather to-be I-say of-you*

τῶν δορυφόρων — ΚΛΕΩΝ ποίων; φράσον.
*of-the bodyguards what tell*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τῶν Βυρσίνης τῆς Ἱππίου.
*of-the of-Byrsine the of-Hippias*

ΚΛΕΩΝ κόβαλος εἶ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ πανοῦργος εἶ.
*rogue you-are villain you-are*

ΧΟΡΟΣ παῖ' ἀνδρικῶς. ΚΛΕΩΝ ἰοὺ ἰού,
*strike manfully oh oh*

τύπτουσί μ' οἱ ξυνωμόται.
*beat me the conspirators*

ΧΟΡΟΣ παῖ' αὐτὸν ἀνδρειότατα, καὶ
*strike him most-manfully and*

γάστριζε καὶ τοῖς ἐντέροις
*belly-punch and with-the guts*

καὶ τοῖς κόλοις,
*and with-the tripes*

χὤπως κολᾷ τὸν ἄνδρα.
*and-see-that you-punish the man*
ὦ γεννικώτατον κρέας ψυχήν τ' ἄριστε πάντων,
*O noblest meat in-soul and best of-all*
καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
*and for-the city savior appearing for-us and the citizens*
ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν.
*how well the man intricately and you-came-at in words*
460 πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὥσπερ ἡδόμεσθα;
*how — you could-we-praise so as we-are-pleased*

## IV · TO THE COUNCIL

*Charged by the Sausage-seller with dealing with Sparta through Argos, the Paphlagonian threatens to denounce the knights' conspiracies with the Medes and the Boeotians, and rushes off to the Council. The slave greases the Sausage-seller's neck, feeds him garlic like a fighting cock, and sends him after the Paphlagonian to bite, slander, and eat the crests.*

ΚΛΕΩΝ ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανεν
*these-here by — Demeter me not escaped*
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
*being-built the affairs but I-knew*
γομφούμεν' αὐτὰ πάντα καὶ κολλώμενα.
*being-bolted them all and being-glued*
ΧΟΡΟΣ οἴμοι σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;
*ah-me you and nothing from wainwright say*
465 ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὔκουν μ' ἐν Ἄργει γ' οἷα πράττεις λανθάνει.
*not-then me in Argos at-least what you-do escapes*
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ,
*pretext indeed Argives friends to-us he-makes*

ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.
*privately and there with-Lacedaemonians he-meets*
καὶ ταῦτ' ἐφ' οἵσίν ἐστι συμφυσώμενα
*and these on what-terms they-are being-welded*
ἐγᾦδ'· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.
*I-know on for the prisoners it-is-being-forged*
ΧΟΡΟΣ εὖ γ' εὖ γε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.
*well at-least well at-least forge in-return-for the gluings*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ ξυγκροτοῦσιν ἄνδρες αὖτ' ἐκεῖθεν αὖ,
*and hammer-together men them from-there in-turn*
καὶ ταῦτά μ' οὔτ' ἀργύριον οὔτε χρυσίον
*and these me neither silver nor gold*
διδοὺς ἀναπείσεις οὔτε προσπέμπων φίλους,
*giving will-you-persuade nor sending friends*
ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.
*so-that I these not to-Athenians will-tell*
ΚΛΕΩΝ ἐγὼ μὲν οὖν αὐτίκα μάλ' ἐς βουλὴν ἰὼν
*I indeed rather at-once very to council going*
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
*of-you all the conspiracies will-tell*
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς τὰς ἐν πόλει,
*and the meetings the nocturnal the in city*
καὶ πάνθ' ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε,
*and all which with-Medes and king you-swear-together*
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.
*and the-from Boeotians these being-cheesed-together*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;
*how then the cheese among Boeotians for-sale*
ΚΛΕΩΝ ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.
*I you by — Heracles will-lay-flat*

ΧΟΡΟΣ ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα ψυχὴν ἔχεις;
*come now you what mind or what soul have*
νυνί γε δείξεις, εἴπερ ἀπεκρύψω τότε
*now at-least you-will-show if-indeed you-bid then*
ἐς τὼ κοχώνα τὸ κρέας, ὡς αὐτὸς λέγεις·
*in the two-buttocks the meat as yourself say*
485 θεύσει γὰρ ᾄξας ἐς τὸ βουλευτήριον,
*he-will-run for darting into the council-house*
ὡς οὗτος ἐσπεσὼν ἐκεῖσε διαβαλεῖ
*since this falling-in there will-slander*
ἡμᾶς ἅπαντας καὶ κράγον κεκράξεται.
*us all and clamor will-clamor*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ' εἶμι· πρῶτον δ' ὡς ἔχω τὰς κοιλίας
*but I-go first and as I-have the tripes*
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
*and the knives here will-lay-down*
490 ΔΗΜΟΣΘΕΝΗΣ ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳί,
*hold now anoint the neck with-this-here*
ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.
*so-that to-slip-out you-may-be-able the slanders*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.
*but well you-say and trainer-like these-here*
ΔΗΜΟΣΘΕΝΗΣ ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί.
*hold now gulp-down having-taken these-here*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί δαί;
*what then*

ΔΗΜΟΣΘΕΝΗΣ ἵν᾽ ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ.
*so-that better O my-friend garlic-primed you-may-fight*
καὶ σπεῦδε ταχέως. ΑΛΛΑΝΤΟΠΩΛΗΣ ταῦτα δρῶ.
*and hurry quickly these I-do*
ΔΗΜΟΣΘΕΝΗΣ μέμνησό νυν
*remember now*
δάκνειν διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
*to-bite to-slander the crests to-eat-up*
χὤπως τὰ κάλλαι᾽ ἀποφαγὼν ἥξεις πάλιν.
*and-see-that the wattles having-eaten-off you-come back*

## V · THE PARABASIS

*The knights explain why the poet waited so long to ask for his own chorus: the audience discards old poets, as it did Magnes and the doddering Cratinus, and barely bore with Crates, and a man should row before he steers. They hymn Poseidon and Athena, praise their fathers who fought without asking for meals and front seats, and tell how their horses rowed to Corinth and ate crabs.*

ΧΟΡΟΣ ἄλλ᾽ ἴθι χαίρων, καὶ πράξειας
*but go rejoicing and may-you-fare*
κατὰ νοῦν τὸν ἐμόν, καί σε φυλάττοι
*according-to mind the my and you may-guard*
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
*Zeus of-the-market and having-won*
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
*again from-there back to us*
ἔλθοις στεφάνοις κατάπαστος.
*may-you-come with-garlands sprinkled*
ὑμεῖς δ᾽ ἡμῖν προσέχετε τὸν νοῦν
*you and to-us attend the mind*

τοῖς ἀναπαίστοις,
*to-the anapaests*

ὦ παντοίας ἤδη Μούσης
*O of-every-kind already Muse*

πειραθέντες καθ' ἑαυτούς.
*having-tried by yourselves*

εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
*if indeed any man of-the old comic-producer us*

ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
*compelled about-to-speak verses to the audience to-come-forward*

οὐκ ἂν φαύλως ἔτυχεν τούτου·
*not — easily he-would-have-got this*

νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
*now and worthy is the poet*

ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ τολμᾷ τε λέγειν τὰ δίκαια,
*because the same with-us he-hates dares and to-speak the just-things*

καὶ γενναίως πρὸς τὸν τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
*and nobly against the typhoon goes and the whirlwind*

ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας
*what and to-wonder of-you he-says many to-him coming*

καὶ βασανίζειν ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν,
*and to-question why not long-ago chorus he-asked by himself*

ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ
*us to-you he-bade to-tell about this says for the-man*

οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
*not from folly this having-suffered to-delay but thinking*

κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
*comic-production to-be most-difficult task of-all*

πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι·
*many for indeed having-courted it few to-have-pleased*

ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας
*you and long-since perceiving annual in-the nature being*
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
*and the earlier of-the poets with the old-age betraying*
τοῦτο μὲν εἰδὼς ἄπαθε Μάγνης
*this indeed knowing what-he-suffered Magnes*
ἅμα ταῖς πολιαῖς κατιούσαις,
*with the gray-hairs coming-down*
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·
*who most of-choruses of-the rival of-victory set-up trophies*
πάσας δ' ὑμῖν φωνὰς ἰείς καὶ ψάλλων καὶ πτερυγίζων
*all and to-you voices uttering and plucking and wing-flapping*
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις
*and Lydizing and fig-gnatting and being-dyed in-frog-colors*
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
*not he-sufficed but at-last in old-age not for in youth*
ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη·
*he-was-thrown-out old-man being because of-the jesting he-fell-behind*
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
*then of-Cratinus remembering who much flowing once with-praise*
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει,
*through the smooth plains rushed*
καὶ τῆς στάσεως παρασύρων
*and from-the place sweeping*
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους
*carried the oaks and the planes*
καὶ τοὺς ἐχθροὺς προθελύμνους·
*and the enemies roots-and-all*
ᾄσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν "Δωροῖ συκοπέδιλε,"
*to-sing and not it-was at drinking-party except Doro fig-sandaled*

καὶ "τέκτονες εὐπαλάμων ὕμνων·" οὕτως ἤνθησεν ἐκεῖνος.
*and builders of-skillful hymns so flourished he*

νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
*now and you him seeing babbling not pity*

ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ' ἐνόντος
*falling-out the amber-pegs and the tension no-longer being-in*

τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει,
*the and harmonies gaping-apart but old being he-wanders-about*

ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων
*like Connas garland indeed having*

αὖον δίψῃ δ' ἀπολωλώς,
*dry with-thirst and perished*

ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ,
*who ought because-of the former victories to-drink in the prytaneum*

καὶ μὴ ληρεῖν ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
*and not to-babble but to-watch gleaming beside — Dionysus*

οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελιγμούς,
*what-sort and Crates rages of-you endured and buffetings*

ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
*who from small cost you lunching sent-off*

ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
*from most-crisp mouth kneading most-witty notions*

χοὗτος μέντοι μόνος ἀντήρκει,
*and-this however alone held-out*

ποτὲ μὲν πίπτων ποτὲ δ' οὐχί.
*sometimes indeed falling sometimes and not*

ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν ἔφασκεν
*these dreading he-delayed always and besides these he-said*

ἐρέτην χρῆναι πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν,
*rower one-ought first to-become before the-rudders to-try*

κᾆτ᾽ ἐντεῦθεν πρωρατεῦσαι καὶ τοὺς ἀνέμους διαθρῆσαι,
*and-then from-there to-be-bow-officer and the winds to-watch*
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,
*and-then to-steer himself for-himself of-these then on-account-of all*
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
*because soberly and-not senselessly leaping-in he-babbled*
αἴρεσθ᾽ αὐτῷ πολὺ τὸ ῥόθιον,
*raise for-him much the surge*
παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις
*send-off on eleven oars*
θόρυβον χρηστὸν ληναΐτην,
*din good Lenaean*
ἵν᾽ ὁ ποιητὴς ἀπίῃ χαίρων
*so-that the poet may-go-off rejoicing*
κατὰ νοῦν πράξας,
*according-to mind having-fared*
φαιδρὸς λάμποντι μετώπῳ.
*bright with-shining forehead*
ἵππι᾽ ἄναξ Πόσειδον, ᾧ
*of-horses lord Poseidon whom*
χαλκοκρότων ἵππων κτύπος
*of-bronze-rattling horses clatter*
καὶ χρεμετισμὸς ἁνδάνει
*and neighing pleases*
καὶ κυανέμβολοι θοαὶ
*and dark-rammed swift*
μισθοφόροι τριήρεις,
*paid triremes*
μειρακίων θ᾽ ἅμιλλα λαμπρυνομένων ἐν ἅρμασιν
*of-youths and contest gleaming in chariots*

καὶ βαρυδαιμονούντων,
*and luckless*
δεῦρ' ἔλθ' ἐς χορὸν ὦ χρυσοτρίαιν' ὦ
*here come to chorus O golden-tridented O*
δελφίνων μεδέων Σουνιάρατε,
*of-dolphins ruler Sunium-prayed*
ὦ Γεραίστιε παῖ Κρόνου,
*O Geraestian son of-Cronus*
Φορμίωνί τε φίλτατ' ἐκ
*to-Phormio and dearest of*
τῶν ἄλλων τε θεῶν Ἀθηναίοις
*the other and gods to-Athenians*
πρὸς τὸ παρεστός.
*for the present*
εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
*to-praise we-wish the fathers our because*
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
*men they-were of-this the land worthy and of-the robe*
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφάρκτῳ στρατῷ
*who in-foot battles in and ship-fenced host*
πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν·
*everywhere winning always this adorned city*
οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
*not for not-one ever of-them the opponents seeing*
ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν Ἀμυνίας·
*counted but the spirit at-once was Amynias*
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
*if and anywhere they-fell on the shoulder in battle some*
τοῦτ' ἀπεψήσαντ' ἄν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,
*this they-would-wipe-off — then denied not to-have-fallen*

ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
*but wrestled-it-out again and general not-even — one*
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·
*of-those before this rations asked asking Cleaenetus*
νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
*now and if not front-seats they-get and the rations*
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
*not to-fight they-say we and think-fit for-the city*
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
*gratis nobly to-defend and gods native*
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·
*and besides not ask nothing except so-much-here only*
ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
*if ever peace comes and from-toils we-cease*
μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.
*not begrudge us wearing-long-hair nor scraped-clean*
Ὦ πολιοῦχε Παλλάς, ὦ
*O city-holder Pallas O*
τῆς ἱερωτάτης ἁπασῶν
*of-the holiest of-all*
πολέμῳ τε καὶ ποιηταῖς
*in-war both and in-poets*
δυνάμει θ' ὑπερφερούσης
*in-power and surpassing*
μεδέουσα χώρας,
*ruling land*
δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
*here arrive taking the*
ἐν στρατιαῖς τε καὶ μάχαις
*in campaigns both and battles*

ἡμετέραν ξυνεργὸν
*our fellow-worker*
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα
*Victory who of-choruses is companion*
590 τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
*with-the and enemies with us quarrels*
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
*now then here appear it-is-needful*
γὰρ τοῖς ἀνδράσι τοῖσδε πάσῃ
*for for-the men these by-every*
τέχνῃ πορίσαι σε νίκην
*means to-provide you victory*
εἴπερ ποτὲ καὶ νῦν.
*if-indeed ever and now*
595 ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
*what we-know-with the horses we-wish to-praise*
ἄξιοι δ' εἰσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
*worthy and they-are to-be-praised many for indeed exploits*
ξυνδιήνεγκαν μεθ' ἡμῶν, ἐσβολάς τε καὶ μάχας.
*they-bore-with with us invasions both and battles*
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
*but the-on the land indeed of-them not too-much we-wonder*
ὡς ὅτ' ἐς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
*as when into the horse-transports they-leapt manfully*
600 πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα·
*having-bought cups they and also garlic and onions*
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοὶ
*then the oars taking like we the mortals*
ἐμβαλόντες ἀνεβρύαξαν, "ἱππαπαῖ, τίς ἐμβαλεῖ;
*falling-to roared hippapai who will-pull*

ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς ὦ σαμφόρα;"
*must-be-taken more what are-we-doing not will-you-row O San-brand*
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτεροι
*they-leapt-out and to Corinth then and the younger*
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῄσαν στρώματα·
*with-the hooves dug beds and went-for bedding*
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
*ate and the crabs instead-of grass Median*
εἴ τις ἐξέρποι θύραζε κἀκ βυθοῦ θηρώμενοι·
*if any crept-out out-of-doors and-from depth hunting*
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον,
*so-that said Theorus to-have-said crab Corinthian*
"δεινά γ' ὦ Πόσειδον εἰ μήτ' ἐν βυθῷ δυνήσομαι
*terrible at-least O Poseidon if neither in deep I-shall-be-able*
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας."
*nor on-land nor in sea to-escape the knights*

## VI · THE SAUSAGE-SELLER'S REPORT

*The Sausage-seller tells how he outbid the Paphlagonian in the Council by announcing that sprats were cheap, offering to sacrifice more oxen and goats, and buying up the coriander for the councilors. The Paphlagonian arrives; they trade threats, and both summon Demos. The old man comes out, hears each claim to love him, and agrees to judge between them, but only on the Pnyx.*

ΧΟΡΟΣ ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε.
*O dearest of-men and most-youthful*
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
*how-much being-away you-gave us anxiety*
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
*and now since safe you-have-come back*

ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ᾽ ἠγωνίσω.
*report to-us how the matter you-contested*

615 ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί δ᾽ ἄλλο γ᾽ εἰ μὴ Νικόβουλος ἐγενόμην;
*what and else at-least if not Nicobulus I-became*

ΧΟΡΟΣ νῦν ἄρ᾽ ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
*now then worthy at-least for-all it-is to-raise-a-cry*

ὦ καλὰ λέγων πολὺ δ᾽ ἀμείνον᾽ ἔτι τῶν λόγων
*O fine-things saying much and better still than-the words*

ἐργασάμεν᾽, εἴθ᾽ ἐπέλθοις
*having-done would-that you-would-go-over*

ἅπαντά μοι σαφῶς·
*all to-me clearly*

620 ὡς ἐγώ μοι δοκῶ
*since I to-me seem*

κἂν μακρὰν ὁδὸν διελθεῖν
*even long way to-go-through*

ὥστ᾽ ἀκοῦσαι. πρὸς τάδ᾽ ὦ βέλτιστε
*so-as to-hear to this O best*

θαρρήσας λέγ᾽, ὡς, ἅπαντες
*taking-courage speak since all*

ἡδόμεσθά σοι.
*we-are-pleased with-you*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ μὴν ἀκοῦσαί γ᾽ ἄξιον τῶν πραγμάτων.
*and truly to-hear at-least worthy of-the affairs*

625 εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ᾽ ἱέμην·
*at-once for him behind from-here I-rushed*

ὁ δ᾽ ἄρ᾽ ἔνδον ἐλασίβροντ᾽ ἀναρρηγνὺς ἔπη
*he and then inside thunder-driving breaking-forth words*

τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
*telling-marvels pressed against the knights*

κρημνοὺς †ἐρείδων† καὶ ξυνωμότας λέγων
*cliffs pressing and conspirators calling-them*
πιθανώταθ'· ἡ βουλὴ δ' ἅπασ' ἀκροωμένη
*most-persuasively the council and all listening*
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
*became by him of-false-orache full*
κἄβλεψε νᾶπυ καὶ τὰ μέτωπ' ἀνέσπασεν.
*and-looked mustard and the brows drew-up*
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους
*and-I when indeed I-knew accepting the words*
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην,
*and by-the deceptions being-deceived*
"ἄγε δὴ Σκίταλοι καὶ Φένακες," ἦν δ' ἐγώ,
*come now Swaggerers and Cheats said and I*
"Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων,
*Gulls and and Tricksters and Mothon*
ἀγορά τ' ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
*market and in which boy being was-educated I*
νῦν μοι φράσος καὶ γλῶτταν εὔπορον δότε
*now to-me boldness and tongue fluent give*
φωνήν τ' ἀναιδῆ." ταῦτα φροντίζοντί μοι
*voice and shameless this pondering to-me*
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
*from right farted buggered man*
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενὼν
*and-I bowed-down and-then with-the ass striking*
τὴν κιγκλίδ' ἐξήραξα κἀναχανὼν μέγα
*the railing I-broke-down and-gaping wide*
ἀνέκραγον· "ὦ βουλὴ λόγους ἀγαθοὺς φέρων
*shouted O council words good bringing*

εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
*to-bring-good-news first to-you I-wish*
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
*since which for to-us the war broke-out*
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας."
*never-yet sprats I-saw cheaper*
τῶν δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισεν·
*of-them and at-once the faces grew-calm*
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
*then they-crowned me for-good-news and-I told*
αὐτοῖς ἀπόρρητον ποιησάμενος ταχύ,
*them secret having-made quickly*
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
*so-that the sprats they-might-buy many for-the-obol*
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
*of-the craftsmen to-seize the bowls*
οἱ δ' ἀνεκρότησαν καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
*they and applauded and at me gaped*
ὁ δ' ὑπονοήσας ὁ Παφλαγών, εἰδὼς ἄρα
*he and suspecting — Paphlagon knowing then*
οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασιν,
*by-which was-pleased the council most words*
γνώμην ἔλεξεν· "ἄνδρες, ἤδη μοι δοκεῖ
*opinion stated men already to-me it-seems*
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις
*upon fortunes good announced*
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ."
*for-good-news to-sacrifice hundred oxen to-the goddess*
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.
*nodded toward him the council back*

κἄγωγ᾽ ὅτε δὴ ᾽γνων τοῖς βολίτοις ἡττημένος,
*and-I when indeed I-knew with-the dung-heaps beaten*
διακοσίαισι βουσὶν ὑπερηκόντισα,
*with-two-hundred oxen overshot*
τῇ δ᾽ Ἀγροτέρᾳ κατὰ χιλιῶν παρῄνεσα
*to-the and Huntress for thousand I-advised*
εὐχὴν ποιήσασθαι χιμάρων εἰς αὔριον,
*vow to-make of-goats for tomorrow*
αἱ τριχίδες εἰ γενοίαθ᾽ ἑκατὸν τοὐβολοῦ.
*the sprats if should-be hundred for-the-obol*
ἐκαραδόκησεν εἰς ἔμ᾽ ἡ βουλὴ πάλιν.
*looked-eagerly to me the council back*
ὁ δὲ ταῦτ᾽ ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα.
*he and these-things hearing struck-dumb babbled*
κᾆθ᾽ εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἰ τοξόται.
*and-then dragged him the prytanes and-the archers*
οἱ δ᾽ ἐθορύβουν περὶ τῶν ἀφύων ἑστηκότες·
*they and clamored about the sprats standing*
ὁ δ᾽ ἠντεβόλει γ᾽ αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
*he and begged at-least them little to-wait time*
"ἵν᾽ ἅτθ᾽ ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει
*so-that what the herald the-from Lacedaemon says*
πύθησθ᾽, ἀφῖκται γὰρ περὶ σπονδῶν," λέγων.
*you-may-learn has-come for about truce speaking*
οἱ δ᾽ ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
*they and from one mouth all shouted*
"νυνὶ περὶ σπονδῶν; ἐπειδή γ᾽ ὦ μέλε
*now about truce since at-least O friend*
ᾔσθοντο τὰς ἀφύας παρ᾽ ἡμῖν ἀξίας.
*they-have-perceived the sprats among us cheap*

οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω."
*not we-need truce the war let-it-crawl*

ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι·
*they-shouted and the prytanes to-dismiss*

675 εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῇ.
*then leapt-over the railings everywhere*

ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν
*I and the coriander bought running-under*

ἅπαντα τά τε γήτει' ὅσ' ἦν ἐν τἀγορᾷ·
*all the and leeks as-many-as was in the-market*

ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
*then to-the sprats I-gave seasonings*

ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην.
*being-at-a-loss to-them gratis and-did-favors*

680 οἱ δ' ὑπερεπῄνουν ὑπερεπύπαζόν τέ με
*they and over-praised over-hurrahed and me*

ἅπαντες οὕτως ὥστε τὴν βουλὴν ὅλην
*all so so-that the council whole*

ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.
*for-an-obol with-coriander having-taken-up I-have-come*

ΧΟΡΟΣ πάντα τοι πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα·
*all surely you-have-done as befits the prospering*

ηὗρε δ' ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
*found and the villain another much in-villainies*

685 μείζοσι κεκασμένον
*greater excelling*

καὶ δόλοισι ποικίλοις
*and in-wiles intricate*

ῥήμασίν θ' αἱμύλοις.
*in-words and wily*

ἀλλ᾽ ὅπως ἀγωνιεῖ φρόντιζε
*but see-that you-will-contest take-thought*
τἀπίλοιπ᾽ ἄριστα·
*the-rest best*
συμμάχους δ᾽ ἡμᾶς ἔχων εὔνους
*allies and us having kindly*
ἐπίστασαι πάλαι.
*you-know long-since*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται,
*and truly — Paphlagon this-here approaches*
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν,
*pushing swell and confounding and stirring*
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.
*as indeed about-to-swallow-up me boo of-the boldness*
ΚΛΕΩΝ εἰ μή σ᾽ ἀπολέσαιμ᾽, εἴ τι τῶν αὐτῶν ἐμοὶ
*if not you I-destroy if any of-the same in-me*
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.
*lies is-in may-I-fall-apart everywhere*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
*I-was-pleased at-threats I-laughed at-smoky-boasts*
ἀπεπυδάρισα μόθωνα, περιεκόκκασα.
*I-danced-the-pydarism mothon I-cock-a-doodled-around*
ΚΛΕΩΝ οὔτοι μὰ τὴν Δήμητρ᾽, ἐὰν μή σ᾽ ἐκφάγω
*surely-not by — Demeter if not you I-eat-up*
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.
*from this the land never will-I-live*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἢν μὴ ᾽κφάγῃς; ἐγὼ δέ γ᾽, ἢν μή σ᾽ ἐκπίω
*if not you-eat-up I and at-least if not you I-drink-up*
κἀπεκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.
*and-having-gulped-down myself burst-too*

ΚΛΕΩΝ ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
*I-will-destroy you by the front-seat the from Pylos*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ' ἐγὼ
*look front-seat how I-shall-see you I*

ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.
*from the front-seat last watching*

ΚΛΕΩΝ ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.
*in the stocks I-will-bind you by the heaven*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
*how hot-tempered come what to-you shall-I-give to-eat-up*

ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν; ἐπὶ βαλλαντίῳ;
*on what would-you-eat most-sweetly — on purse*

ΚΛΕΩΝ ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
*I-will-snatch-out of-you with-the nails the-guts*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.
*I-will-claw-off of-you the-in prytaneum rations*

ΚΛΕΩΝ ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.
*I-will-drag you to the people so-that you-may-give me penalty*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.
*and-I and you will-drag and will-slander more*

ΚΛΕΩΝ ἀλλ' ὦ πόνηρε σοὶ μὲν οὐδὲν πείθεται·
*but O wretch you indeed nothing he-trusts*

ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.
*I and of-him mock at-least as-much-as I-wish*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.
*how very you the people your-own have-thought*

ΚΛΕΩΝ ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.
*I-know for him with-what he-is-fed-by-the-mouthful*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ κᾆθ' ὥσπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.
*and-then like the nurses at-least you-feed badly*
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης,
*chewing for to-him indeed little you-put-in*
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
*yourself and than-him three-times-as-much have-gulped*
ΚΛΕΩΝ καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς
*and by Zeus by at-least cleverness the my*
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν. 720
*I-can make the people wide and narrow*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.
*and-the ass my this-here plays-the-sophist*
ΚΛΕΩΝ οὐκ ὠγάθ' ἐν βουλῇ με δόξεις καθυβρίσαι.
*not good-sir in council me you-will-seem to-have-outraged*
ἴωμεν ἐς τὸν δῆμον. ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐδὲν κωλύει·
*let-us-go to the people nothing hinders*
ἰδοὺ βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.
*look walk nothing us let-hold-back*
ΚΛΕΩΝ ὦ Δῆμε δεῦρ' ἔξελθε. ΑΛΛΑΝΤΟΠΩΛΗΣ νὴ Δί' ὦ πάτερ 725
*O Demos here come-out by Zeus O father*
ἔξελθε δῆτ'. ΚΛΕΩΝ ὦ Δημίδιον ὦ φίλτατον
*come-out then O little-Demos O dearest*
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.
*come-out so-that you-may-see how I-am-insulted*
ΔΗΜΟΣ τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
*who the shouting not will-you-go-away from the door*
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
*the harvest-wreath my you-have-torn-down*

τίς ὦ Παφλαγὼν ἀδικεῖ σε; ΚΛΕΩΝ διὰ σὲ τύπτομαι
*who O Paphlagon wrongs you because-of you I-am-beaten*
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων. ΔΗΜΟΣ τιή;
*by this-here and the youths why*
ΚΛΕΩΝ ὅτιὴ φιλῶ σ' ὦ Δῆμ' ἐραστής τ' εἰμὶ σός.
*because I-love you O Demos lover and am your*
ΔΗΜΟΣ σὺ δ' εἶ τίς ἐτεόν; ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀντεραστὴς τουτουί,
*you and are who truly rival-lover of-this-here*
ἐρῶν πάλαι σου βουλόμενός τέ σ' εὖ ποιεῖν,
*loving long-since you wishing and you well to-do*
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
*others and many and fine both and-good*
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
*but not able — we-are because-of this-here you for*
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
*like are to-the boys the beloved*
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
*the indeed fine both and-good not you-accept*
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
*yourself and to-lamp-sellers and to-cobblers*
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.
*and to-shoemakers and to-leather-sellers give*
ΚΛΕΩΝ εὖ γὰρ ποιῶ τὸν δῆμον. ΑΛΛΑΝΤΟΠΩΛΗΣ εἰπέ νυν τί δρῶν;
*well for I-do the people tell now what doing*
ΚΛΕΩΝ ὅ τι; †τῶν στρατηγῶν ὑποδραμὼν τῶν ἐκ Πύλου,†
*what thing of-the generals running-under the from Pylos*
πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.
*having-sailed there the Laconians I-brought*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
*I and walking-about at-least from workshop*
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
*boiling another the pot stole*
ΚΛΕΩΝ καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν
*and truly having-made at-once very assembly*
ὦ Δῆμ' ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
*O Demos so-that you-may-know which-of-two of-us-two is to-you*
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.
*more-kindly decide so-that this-one you-may-love*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.
*yes yes decide then except not in — Pnyx*
ΔΗΜΟΣ οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ.
*not — I-would-sit in other place*
ἀλλ' ἐς τὸ πρόσθε. χρὴ παρεῖν' ἐς τὴν πύκνα.
*but to the front one-must to-go to — Pnyx*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἴμοι κακοδαίμων ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
*ah-me ill-starred how I-am-lost the for old-man*
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος,
*at-home indeed of-men is cleverest*
ὅταν δ' ἐπὶ ταυτησὶ καθῆται τῆς πέτρας,
*when and on this-here sits the rock*
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.
*he-gapes as-if threading figs*

*The two rivals compete in oaths of devotion and in gifts. The Paphlagonian boasts of the money he brought in; the Sausage-seller gives Demos a cushion for his Salamis-sore rear, charges the Paphlagonian with prolonging the war to rob the cities, mocks his comparison of himself to Themistocles, and alarms Demos with the shields from Pylos kept with their handles. Shoes and a tunic outbid a stinking leather cloak, and the rivals end trading petty favors, threats, and curses.*

ΧΟΡΟΣ νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ,
*now indeed you all-things must rope to-let-out of-yourself*
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους
*and spirit impetuous to-bear and arguments inescapable*
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ
*with-which this-one you-will-surpass intricate for the-man*
κἀκ τῶν ἀμηχάνων πόρους εὐμήχανος πορίζειν.
*and-from the impossible ways resourceful to-provide*
πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
*to this see-that you-will-go much and brilliant at the man*
ἀλλὰ φυλάττου καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι πρότερος σὺ
*but guard-against and before he to-press you first you*
τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου.
*the dolphins hoist-aloft and the boat bring-alongside*
ΚΛΕΩΝ τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ τῇ τῆς πόλεως μεδεούσῃ
*to-the indeed mistress Athena the of-the city ruling*
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
*I-pray if indeed toward the people the of-Athenians I-have-been*
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σαλαβακχώ,
*best man after Lysicles and Cynna and Salabaccho*
ὥσπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν πρυτανείῳ·
*as now nothing having-done to-dine in prytaneum*

εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβηκώς,
*if and you I-hate and not for you I-fight alone having-stood-against*
ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέπαδνα.
*may-I-perish and be-sawn-apart be-cut-up and into-yoke-straps*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ κἄγωγ' ὦ Δῆμ', εἰ μή σε φιλῶ
*and-I O Demos if not you I-love*
καὶ μὴ στέργω, κατατμηθεὶς
*and not cherish being-cut-up*
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας, 770
*may-I-be-boiled in mincemeat and-if not these you-trust*
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ,
*on this-here may-I-be-grated in garlic-paste with cheese*
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.
*and with-the flesh-hook by-the balls may-I-be-dragged to Ceramicus*
ΚΛΕΩΝ καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε
*and how — than-me more you*
φιλῶν ὦ Δῆμε γένοιτο πολίτης;
*loving O Demos could-be citizen*
ὃς πρῶτα μὲν ἡνίκ' ἐβούλευον σοὶ
*who first indeed when I-was-councilor for-you*
χρήματα πλεῖστ' ἀπέδειξα
*money most showed*
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν 775
*in the treasury the indeed racking*
τοὺς δ' ἄγχων τοὺς δὲ μεταιτῶν,
*the and throttling the and begging*
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοίμην.
*not caring of-the private-citizens for-any if you I-might-please*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τοῦτο μὲν ὦ Δῆμ᾽ οὐδὲν σεμνόν·
*this indeed O Demos nothing grand*
κἀγὼ γὰρ τοῦτό σε δράσω.
*and-I for this you will-do*
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
*snatching for the loaves for-you the others' I-will-serve*
ὡς δ᾽ οὐχὶ φιλεῖ σ᾽ οὐδ᾽ ἔστ᾽ εὔνους,
*that and not he-loves you nor is well-disposed*
τοῦτ᾽ αὐτό σε πρῶτα διδάξω,
*this itself you first I-will-teach*
780 ἀλλ᾽ ἢ διὰ τοῦτ᾽ αὖθ᾽ ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
*but — because-of this itself because of-you the brazier he-enjoys*
σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
*you for who with-Medes fought-with-swords for the land at-Marathon*
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
*and having-won for-us greatly to-tongue-forge gave*
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως,
*on the rocks not he-cares hard you sitting so*
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ᾽ ἐπαναίρου,
*not as I having-sewn for-you this-here I-bring but lift-yourself*
785 κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.
*and-then sit softly so-that not you-chafe the at Salamis*
ΔΗΜΟΣ ἄνθρωπε τίς εἶ; μῶν ἔκγονος
*man who are-you surely-not descendant*
εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
*are-you of-the of-Harmodius one of-those*
τοῦτό γέ τοί σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.
*this at-least surely of-you the-deed truly noble and people-loving*
ΚΛΕΩΝ ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.
*how from small well-disposed to-him little-flatteries you-have-become*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις
*and you for him much smaller*
τούτων δελεάσμασιν εἵλες.
*than-these baits caught*
ΚΛΕΩΝ καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη 790
*and truly if anywhere any man appeared*
τῷ δήμῳ μᾶλλον ἀμύνων
*to-the people more defending*
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω
*or more than-me you loving I-am-willing*
περὶ τῆς κεφαλῆς περιδόσθαι.
*on the head to-wager*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον
*and how you love who this-one*
ὁρῶν οἰκοῦντ' ἐν ταῖς φιδάκναισι
*seeing living in the casks*
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον οὐκ ἐλεαίρεις,
*and vulture-nests and turrets year eighth not you-pity*
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις; Ἀρχεπτολέμου δὲ φέροντος
*but having-shut-in him you-rob-the-hive of-Archeptolemus and bringing*
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις 795
*the peace you-scattered the embassies and you-drive-off*
ἐκ τῆς πόλεως ῥαθαπυγίζων,
*from the city by-kicking-the-ass*
αἳ τὰς σπονδὰς προκαλοῦνται.
*which the truce propose*

ΚΛΕΩΝ ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων.
*so-that at-least of-Greeks he-may-rule all*

ἔστι γὰρ ἐν τοῖς λογίοισιν
*it-is for in the oracles*

ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
*that this-one must some-day in Arcadia at-five-obols to-be-juror*

ἢν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
*if he-holds-out in-any-case and him I-will-nourish I and tend*

800 ἐξευρίσκων εὖ καὶ μιαρῶς ὁπόθεν τὸ τριώβολον ἕξει.
*finding well and foully whence the three-obols he-will-have*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας
*not so-that at-least he-may-rule by Zeus Arcadia*

προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
*taking-thought but so-that more*

σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς
*you indeed may-snatch and take-bribes*

παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος
*from the cities the and people*

ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης
*by the war and the mist*

ἃ πανουργεῖς μὴ καθορᾷ σου,
*what you-do-villainy not may-see of-you*

ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
*but by necessity at-once and need and pay toward you may-gape*

805 ἢν δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ,
*if and ever to field this-one having-gone peaceful should-spend-time*

καὶ χῖδρα φαγὼν ἀναθαρρήσῃ
*and groats having-eaten should-take-heart*

καὶ στεμφύλῳ ἐς λόγον ἔλθῃ,
*and with-pressed-olive into talk come*

γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου·
*he-will-know of-what goods him with-the pay you-cheated*
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος
*then he-will-come at-you sharp rustic*
κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
*against you the vote tracking*
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς
*which you knowing this-one you-deceive*
καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.
*and dream about yourself*
ΚΛΕΩΝ οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' 810
*not-then terrible these-here you to-say then*
ἔστ' ἐμὲ καὶ διαβάλλειν
*is-it me and to-slander*
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστὰ
*before Athenians and the people having-done more good-things*
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;
*by — Demeter than-Themistocles much for the city already*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὦ πόλις Ἄργους κλύεθ' οἷα λέγει.
*O city of-Argos hear what-things he-says*
σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
*you to-Themistocles compare-yourself*
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ,
*who made the city our full having-found brimming*
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν, 815
*and besides these for-her-lunching — Piraeus kneaded-on*
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκεν·
*taking-away and nothing of-the old fish new served*
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
*you and Athenians sought small-citizens to-make*

διατειχίζων καὶ χρησμῳδῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
*walling-across and oracle-chanting the to-Themistocles comparing-himself*
κἀκεῖνος μὲν φεύγει τὴν γῆν σὺ δ' Ἀχιλλείων ἀπομάττει.
*and-he indeed flees the land you and on-Achilles-cakes wipe-your-hands*
ΚΛΕΩΝ οὔκουν ταυτὶ δεινὸν ἀκούειν
*not-then these-here terrible to-hear*
ὦ Δῆμ' ἐστίν μ' ὑπὸ τούτου,
*O Demos is me by this-one*
ὁτιή σε φιλῶ; ΔΗΜΟΣ παῦ' ὦ οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
*because you I-love stop O you and not abuse wickedly*
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.
*much and long me time and now you-escaped-notice hiding-in-the-ashes*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ μιαρώτατος, ὦ Δημακίδιον,
*foulest O little-Demos*
καὶ πλεῖστα πανοῦργα δεδρακώς,
*and most villainies having-done*
ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς
*when he-yawns and the stalks*
τῶν εὐθυνῶν ἐκκαυλίζων
*of-the audits nipping-off*
καταβροχθίζει, κἀμφοῖν χειροῖν
*he-gulps-down and-with-both hands*
μυστιλᾶται τῶν δημοσίων.
*he-scoops-up of-the public-funds*
ΚΛΕΩΝ οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ'
*not you-will-rejoice but you stealing*
αἱρήσω 'γὼ τρεῖς μυριάδας.
*will-convict I three ten-thousands*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
*why do-you-beat-the-sea and splash*
μιαρώτατος ὢν περὶ τὸν δῆμον
*foulest being toward the people*
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
*the of-Athenians and you I-will-show*
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
*by — Demeter or not may-I-live*
δωροδοκήσαντ' ἐκ Μυτιλήνης
*having-taken-bribes from Mytilene*
πλεῖν ἢ μνᾶς τετταράκοντα.
*more than minas forty*
ΧΟΡΟΣ ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
*O to-all men appearing greatest benefit*
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
*I-envy you for-the fluency if for so you-will-press*
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
*greatest of-Greeks you-will-be and alone will-hold*
τἀν τῇ πόλει τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
*the-in the city of-the allies and will-rule having trident*
ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων.
*with-which much money you-will-make shaking both and confounding*
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν·
*and not let-go the man since to-you hold he-has-given*
κατεργάσει γὰρ ῥᾳδίως πλευρὰς ἔχων τοιαύτας.
*you-will-finish for easily sides having such*
ΚΛΕΩΝ οὐκ ὦγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.
*not good-sirs this is yet this-way by — Poseidon*
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον ὥστε
*to-me for is done such deed so-that*

ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
*all-together the my enemies to-gag*

ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
*while — is of-the shields the from Pylos any left*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδωκας.
*hold-on at the shields hold for you-have-given*

οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
*not for you one-ought if-indeed you-love the people from forethought*

ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
*these to-allow with-their-very the handles to-be-dedicated*

ἀλλ' ἐστὶ τοῦτ' ὦ Δῆμε μηχάνημ', ἵν' ἢν σὺ βούλῃ
*but is this O Demos device so-that if you wish*

τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
*the man to-punish this-here for-you this not may-happen*

ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
*you-see for for-him troop what-sort is of-leather-sellers*

νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
*youths these and live-around honey-sellers*

καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός,
*and cheese-sellers this and into one is huddled*

ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα,
*so-that if you should-snort and look ostracism-wise*

νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
*at-night having-snatched — the shields running*

τὰς ἐσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
*the passes of-the barley — they-would-seize our*

ΔΗΜΟΣ οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πόνηρε
*ah-me wretched they-have for handles O wretch*

ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν.
*how-long me you-cheated time such-things people-swindling*

ΚΛΕΩΝ ὦ δαιμόνιε μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς
*O strange-one not of-the speaker be nor think*
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷς ὢν
*than-me ever to-find friend better who one being*
ἔπαυσα τοὺς ξυνωμότας, καί μ' οὐ λέληθεν οὐδὲν
*stopped the conspirators and me not has-escaped nothing*
ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.
*in the city banding-together but at-once I-have-shouted*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις
*what-indeed for those the eels*
θηρώμενοι πέπονθας.
*hunting you-have-suffered*
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
*when indeed the lake settles they-catch nothing*
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
*if and up both and down the mud they-stir*
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
*they-catch and you get if the city you-confound*
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν
*one and tell me so-much-here leathers so-many selling*
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
*did-you-give ever to-this-here sole from yourself*
ταῖς ἐμβάσιν φάσκων φιλεῖν; ΔΗΜΟΣ οὐ δῆτα μὰ τὸν Ἀπόλλω.
*with-the shoes saying to-love not then by — Apollo*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἔγνωκας οὖν δῆτ' αὐτὸν
*have-you-recognized then then him*
οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
*what-sort he-is but I you*
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ φορεῖν δίδωμι.
*pair having-bought of-shoes this-here to-wear give*

ΔΗΜΟΣ κρίνω σ᾽ ὅσων ἐγῷδα περὶ τὸν δῆμον ἄνδρ᾽ ἄριστον
*I-judge you of-as-many-as I-know toward the people man best*
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.
*most-kindly both to-the city and to-the toes*
ΚΛΕΩΝ οὐ δεινὸν οὖν δῆτ᾽ ἐμβάδας τοσουτονὶ δύνασθαι,
*not terrible then then shoes so-much-here to-be-able*
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅστις
*of-me and not remembrance to-have of-how-much you-have-suffered who*
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρύττον ἐξαλείψας.
*stopped the being-fucked — Gryttus having-erased*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν
*not-then you then this terrible is to-ass-watch*
παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ᾽ ὅπως ἐκείνους
*to-stop and the being-fucked and-not it-is how them*
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένωνται.
*not envying you-stopped so-that not speakers they-might-become*
τονδὶ δ᾽ ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον
*this-one-here and seeing without tunic being so-old*
οὐπώποτ᾽ ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας
*never-yet of-a-sleeved-tunic — Demos you-thought-worthy*
χειμῶνος ὄντος· ἀλλ᾽ ἐγώ σοι τουτονὶ δίδωμι.
*winter being but I to-you this-here give*
ΔΗΜΟΣ τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ᾽ ἐπενόησεν.
*such-here Themistocles never-yet devised*
καίτοι σοφὸν κἀκεῖν᾽ ὁ Πειραιεύς· ἔμοιγε μέντοι
*and-yet clever also-that — Piraeus to-me-at-least however*
οὐ μεῖζον εἶναι φαίνετ᾽ ἐξεύρημα τοῦ χιτῶνος.
*not greater to-be appears invention than-the tunic*
ΚΛΕΩΝ οἴμοι τάλας οἵοις πιθηκισμοῖς με περιελαύνεις.
*ah-me wretched with-what apish-tricks me you-drive-around*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὔκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ
*no but what-indeed drinking man*
πέπονθ' ὅταν χεσείῃ,
*suffers when he-needs-to-shit*
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.
*the ways the your like slippers I-use*
ΚΛΕΩΝ ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν 890
*but not you-will-surpass me in-flatteries I for him*
προσαμφιῶ τοδί· σὺ δ' οἴμωζ' ὦ πόνηρ'. ΔΗΜΟΣ ἰαιβοῖ.
*will-put-around this-here you and wail O wretch ow*
οὐκ ἐς κόρακας ἀποφθερεῖ βύρσης κάκιστον ὄζων;
*not to crows will-you-be-off of-hide worst smelling*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ τοῦτό γ' ἐπίτηδές σε
*and this at-least on-purpose you*
περιήμπεσχ', ἵνα σ' ἀποπνίξῃ·
*he-put-around so-that you he-may-choke*
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον
*and before he-plotted-against you the stalk you-know that*
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον; ΔΗΜΟΣ οἶδα μέντοι. 895
*of-the silphium the cheap having-become I-know however*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
*on-purpose this it hurried cheap to-become*
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν ἡλιαίᾳ
*so-that you-might-eat buying and-then in court*
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.
*farting one-another might-kill the jurors*
ΔΗΜΟΣ νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ Κόπρειος.
*by — Poseidon and to me this said man of-Dungton*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοi
*not for then you farting*
δήπου 'γένεσθε πυρροί;
*surely became red*

ΔΗΜΟΣ καὶ νὴ Δί' ἦν γε τοῦτο Πυρράνδρου τὸ μηχάνημα.
*and by Zeus was at-least this of-Pyrrhandrus the device*

ΚΛΕΩΝ οἵοισί μ' ὦ πανοῦργε βωμολοχεύμασιν ταράττεις.
*with-what me O villain buffooneries you-confound*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείαις.
*the for goddess me bade to-defeat you in-impostures*

ΚΛΕΩΝ ἀλλ' οὐχὶ νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν
*but not you-will-defeat I for say to-you to-provide*

ὦ Δῆμε μηδὲν δρῶντι μισθοῦ τρύβλιον ῥοφῆσαι.
*O Demos nothing doing of-pay bowl to-gulp*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι
*I and little-cup at-least to-you and salve give*
τἀν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.
*the-on the shins little-sores to-anoint*

ΚΛΕΩΝ ἐγὼ δὲ τὰς πολιάς γέ σοὐκλέγων νέον ποιήσω.
*I and the gray-hairs at-least from-you-picking young will-make*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἰδοὺ δέχου κέρκον λαγῶ τὠφθαλμιδίω περιψῆν.
*look accept tail of-hare the-two-little-eyes to-wipe*

ΚΛΕΩΝ ἀπομυξάμενος ὦ Δῆμέ μου πρὸς τὴν κεφαλὴν ἀποψῶ.
*having-blown-your-nose O Demos my on the head wipe*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐμοῦ μὲν οὖν. ΚΛΕΩΝ ἐμοῦ μὲν οὖν.
*me indeed rather me indeed rather*

ἐγώ σε ποιήσω τριηραρχεῖν
*I you will-make trierarch*
ἀναλίσκοντα τῶν
*spending of-the*

σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ',
*your-own old ship having*
εἰς ἣν ἀναλῶν οὐκ ἐφέξεις
*on which spending not you-will-stop*
οὐδὲ ναυπηγούμενος·
*nor rebuilding*
διαμηχανήσομαί θ' ὅπως
*I-will-contrive and how*
ἂν ἱστίον σαπρὸν λάβῃς.
*— sail rotten you-get*
ΧΟΡΟΣ ἀνὴρ παφλάζει, παῦε παῦ',
*the-man boils-over stop stop*
ὑπερζέων· ὑφελκτέον
*boiling-over must-be-drawn-off*
τῶν δᾳδίων ἀπαρυστέον
*of-the firebrands must-be-ladled-out*
τε τῶν ἀπειλῶν ταυτηί.
*and of-the threats with-this-here*
ΚΛΕΩΝ δώσεις ἐμοὶ καλὴν δίκην
*you-will-give to-me fine penalty*
ἰπούμενος ταῖς ἐσφοραῖς.
*being-squeezed with-the levies*
ἐγὼ γὰρ ἐς τοὺς πλουσίους
*I for into the rich*
σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
*will-push you so-that — you-are-enrolled*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δ' ἀπειλήσω μὲν οὐδέν,
*I and will-threaten indeed nothing*
εὔχομαι δέ σοι ταδί·
*I-pray and for-you these-here*

τὸ μὲν τάγηνον τευθίδων
*the indeed frying-pan of-squid*
ἐφεστάναι σίζον· σὲ δὲ
*to-stand-on sizzling you and*
γνώμην ἐρεῖν μέλλοντα περὶ
*opinion to-state being-about about*
Μιλησίων καὶ κερδανεῖν
*Milesians and to-gain*
τάλαντον, ἢν κατεργάσῃ,
*talent if you-carry-it*
σπεύδειν ὅπως τῶν τευθίδων
*to-hurry so-that with-the squid*
ἐμπλήμενος φθαίης ἔτ' εἰς
*filling-yourself you-may-be-in-time still to*
ἐκκλησίαν ἐλθών· ἔπειτα
*assembly going then*
πρὶν φαγεῖν ἀνὴρ μεθήκοι,
*before eating the-man should-send-for-you*
καὶ σὺ τὸ τάλαντον λαβεῖν
*and you the talent to-get*
βουλόμενος ἐσθίων
*wishing eating*
ἐναποπνιγείης.
*may-you-choke-on-it*

ΧΟΡΟΣ εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα.
*well at-least by — Zeus and — Apollo and — Demeter*

*Demos takes back the Paphlagonian's ring of office, finds its seal is Cleonymus' gaping gull, not his own, and gives the stewardship to the Sausage-seller. The Paphlagonian begs him first to hear his oracles; both go to fetch their collections.*

ΔΗΜΟΣ κἀμοὶ δοκεῖ· καὶ τἄλλα γ' εἶναι καταφανῶς
*and-to-me it-seems and the-rest at-least to-be plainly*
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
*good citizen such-as no-one yet of-time*
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοὐβολοῦ. 945
*man has-become for-the many for-the-obol*
σὺ δ' ὦ Παφλαγὼν φάσκων φιλεῖν μ' ἐσκορόδισας.
*you and O Paphlagon claiming to-love me you-garlicked*
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκέτι
*and now give-back the ring since no-longer*
ἐμοὶ ταμιεύσεις. ΚΛΕΩΝ ἔχε· τοσοῦτον δ' ἴσθ' ὅτι,
*for-me you-will-be-steward take so-much and know that*
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
*if not me you-will-let to-be-guardian another in-turn*
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται. 950
*than-me more-villainous one will-appear*
ΔΗΜΟΣ οὐκ ἔσθ' ὅπως ὁ δακτύλιός ἐσθ' οὑτοσὶ
*not it-is how the ring is this-here*
οὐμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
*mine the at-least seal other appears*
ἀλλ' ἢ οὐ καθορῶ.
*but — not I-see*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ φέρ' ἴδω τί σοι σημεῖον ἦν;
*come let-me-see what to-you seal was*

ΔΗΜΟΣ δημοῦ βοείου θρῖον ἐξωπτημένον.
*of-fat beef fig-leaf roasted-through*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ τοῦτ' ἔνεστιν. ΔΗΜΟΣ οὐ τὸ θρῖον; ἀλλὰ τί;
*not this is-in-it not the fig-leaf but what*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.
*gull gaping on rock haranguing*

ΔΗΜΟΣ αἰβοῖ τάλας. ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί ἔστιν;
*ugh wretched what is-it*

ΔΗΜΟΣ ἀπόφερ' ἐκποδών.
*take-it-away out-of-the-way*

οὐ τὸν ἐμὸν εἶχεν ἀλλὰ τὸν Κλεωνύμου.
*not the mine he-had but the of-Cleonymus*

παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
*from me and this-here having-taken be-steward for-me*

ΚΛΕΩΝ μὴ δῆτά πώ γ' ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγώ,
*not then yet at-least O master I-beg you I*

πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
*before — at-least the oracles you-hear the my*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ τῶν ἐμῶν νυν. ΚΛΕΩΝ ἀλλ' ἐὰν τούτῳ πίθῃ,
*and the my now but if this-one you-obey*

μολγὸν γενέσθαι δεῖ σε. ΑΛΛΑΝΤΟΠΩΛΗΣ κἄν γε τουτῳί,
*wine-skin to-become must you and-if at-least this-here*

ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου.
*skinned-back to-become must you to the myrtle-berry*

ΚΛΕΩΝ ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν ὡς ἄρξαι σε δεῖ
*but they at-least to-me say that to-rule you must*

χώρας ἁπάσης ἐστεφανωμένον ῥόδοις.
*of-land of-all garlanded with-roses*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὑμοὶ δέ γ' αὖ λέγουσιν ὡς ἁλουργίδα
*the-mine and at-least in-turn say that purple-robe*
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
*having embroidered and crown on chariot*
χρυσοῦ διώξει Σμικύθην καὶ κύριον.
*of-gold you-will-prosecute Smicythes and guardian*
ΧΟΡΟΣ καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὑτοσὶ
*and truly bring them going so-that this-here*
αὐτῶν ἀκούσῃ. ΔΗΜΟΣ πάνυ γε. καὶ σύ νυν φέρε.
*them may-hear very at-least and you now bring*
ΚΛΕΩΝ ἰδού. ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἰδοὺ νὴ τὸν Δί· οὐδὲν κωλύει.
*look look by — Zeus nothing hinders*

## IX · THE CLEON-FREE DAY

*The chorus sings that the sweetest day will be the day Cleon perishes, though old men at the courts say the city would lack its pestle and ladle without him, and mocks his swinish boyhood music, tuned only in the bribe-taking mode.*

ΧΟΡΟΣ ἥδιστον φάος ἡμέρας
*sweetest light of-day*
ἔσται τοῖσι παροῦσι καὶ
*will-be to-the present and*
τοῖσι δεῦρ' ἀφικνουμένοις,
*to-the here arriving*
ἢν Κλέων ἀπόληται.
*if Cleon perishes*
καίτοι πρεσβυτέρων τινῶν
*and-yet older some*

οἵων ἀργαλεωτάτων
*such most-troublesome*
ἐν τῷ δείγματι τῶν δικῶν
*in the sample-market of-the suits*
ἤκουσ᾽ ἀντιλεγόντων,
*I-heard disputing*
ὡς εἰ μὴ ᾽γένεθ᾽ οὗτος ἐν
*that if not had-become this-one in*
τῇ πόλει μέγας, οὐκ ἂν ἦστην
*the city great not — would-there-have-been*
σκεύη δύο χρησίμω,
*utensils two useful*
δοῖδυξ οὐδὲ τορύνη.
*pestle nor ladle*
ἀλλὰ καὶ τόδ᾽ ἔγωγε θαυμάζω
*but also this I-at-least wonder*
τῆς ὑομουσίας
*of-the swinish-musicality*
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
*of-him say for him the*
παῖδες οἳ ξυνεφοίτων,
*boys who went-to-school-with-him*
τὴν Δωριστὶ μόνην ἂν ἁρμόττεσθαι
*the Dorian alone — to-tune*
θαμὰ τὴν λύραν,
*often the lyre*
ἄλλην δ᾽ οὐκ ἐθέλειν μαθεῖν·
*other and not to-be-willing to-learn*
κᾆτα τὸν κιθαριστὴν
*and-then the lyre-teacher*

ὀργισθέντ᾽ ἀπάγειν κελεύειν,
*angered to-lead-off to-order*
ὡς ἁρμονίαν ὁ παῖς
*since mode the boy*
οὗτος οὐ δύναται μαθεῖν
*this not can learn*
ἢν μὴ Δωροδοκιστί.
*if not Dorian-bribe-wise*

## X · THE BATTLE OF ORACLES

*The rivals read their oracles against each other: the Paphlagonian finds himself in the watchdog, the lion, and the hawk; the Sausage-seller reads him as the table-robbing dog and the dog-fox that asks for fast ships; and both promise Demos an eagle's rule over all the earth. After their dreams of Athena blessing him, Demos entrusts himself to the Sausage-seller, refuses the Paphlagonian's barley, and promises the reins of the Pnyx to whichever treats him better.*

ΚΛΕΩΝ ἰδοὺ θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.
*look behold and-not all I-bring-out*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἴμ᾽ ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.
*ah-me how I-need-to-shit and-not all I-bring-out*
ΔΗΜΟΣ ταυτὶ τί ἔστι; ΚΛΕΩΝ λόγια.
*these-here what are-they oracles*
ΔΗΜΟΣ πάντ᾽; ΚΛΕΩΝ ἐθαύμασας;
*all-of-them do-you-wonder*
καὶ νὴ Δί᾽ ἔτι γέ μοὔστι κιβωτὸς πλέα.
*and by Zeus still at-least to-me-is chest full*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐμοὶ δ᾽ ὑπερῷον καὶ ξυνοικία δύο.
*to-me and upper-room and tenement-houses two*

ΔΗΜΟΣ φέρ᾽ ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
*come let-me-see whose for are the oracles ever*

ΚΛΕΩΝ οὑμοὶ μέν εἰσι Βάκιδος. ΔΗΜΟΣ οἱ δὲ σοὶ τίνος;
*the-mine indeed are of-Bacis the and yours whose*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.
*of-Glanis brother — of-Bacis elder*

ΔΗΜΟΣ εἰσὶν δὲ περὶ τοῦ; ΚΛΕΩΝ περὶ Ἀθηνῶν, περὶ Πύλου,
*they-are and about what about Athens about Pylos*

περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
*about you about me about all affairs*

ΔΗΜΟΣ οἱ σοὶ δὲ περὶ τοῦ; ΑΛΛΑΝΤΟΠΩΛΗΣ περὶ Ἀθηνῶν,
*the yours and about what about Athens*

περὶ φακῆς,
*about lentil-soup*

περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
*about Lacedaemonians about mackerel fresh*

περὶ τῶν μετρούντων τἄλφιτ᾽ ἐν ἀγορᾷ κακῶς,
*about those measuring the-barley in market badly*

περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
*about you about me about all affairs*

ΔΗΜΟΣ ἄγε νυν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
*come now see-that them you-will-read for-me*

καὶ τὸν περὶ ἐμοῦ ᾽κεῖνον ᾧπερ ἥδομαι,
*and the about me that in-which-indeed I-am-pleased*

ὡς ἐν νεφέλαισιν αἰετὸς γενήσομαι.
*that in clouds eagle I-shall-become*

ΚΛΕΩΝ ἄκουε δή νυν καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
*hear now now and attend the mind to-me*

φράζευ Ἐρεχθεΐδη λογίων ὁδόν, ἥν σοι Ἀπόλλων
*consider son-of-Erechtheus of-oracles way which to-you Apollo*

ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
*cried from shrine through tripods precious*
σῴζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα,
*to-keep-safe you bade holy dog jagged-toothed*
ὃς πρὸ σέθεν λάσκων καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς
*who before you yelping and for you terribly having-shouted*
σοὶ μισθὸν ποριεῖ, κἂν μὴ δρᾷ ταῦτ' ἀπολεῖται.
*for-you pay will-provide and-if not he-does these he-will-perish*
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.
*many for in-hatred him croak-at jackdaws*
ΔΗΜΟΣ ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.
*these-here by — Demeter I not know what thing he-says*
τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί;
*what for is-it to-Erechtheus and to-jackdaws and to-dog*
ΚΛΕΩΝ ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
*I indeed am the dog before you for I-bark*
σοὶ δ' εἶπε σῴζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
*to-you and said to-keep-safe me — Phoebus the dog*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ τοῦτό φησ' ὁ χρησμός, ἀλλ' ὁ κύων ὁδὶ
*not this says the oracle but the dog this-here*
ὥσπερ θύρας σοῦ τῶν λογίων παρεσθίει.
*like of-a-door of-you of-the oracles nibbles*
ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
*for-me for is rightly about this the dog*
ΔΗΜΟΣ λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
*speak now I and first will-take stone*
ἵνα μή μ' ὁ χρησμὸς τὸ πέος οὑτοσὶ δάκῃ.
*so-that not me the oracle the cock this-here bite*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ φράζευ Ἐρεχθεΐδη κύνα
*consider son-of-Erechtheus dog*
Κέρβερον ἀνδραποδιστήν,
*Cerberus slave-dealer*
ὃς κέρκῳ σαίνων σ' ὁπόταν δειπνῇς ἐπιτηρῶν
*who with-tail fawning you when you-dine watching*
ἐξέδεταί σου τοὔψον, ὅταν σύ ποι ἄλλοσε χάσκῃς·
*will-eat-up of-you the-dish when you somewhere elsewhere gape*
ἐσφοιτῶν τ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
*going-in and into the-kitchen will-escape you dog-wise*
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.
*by-night the dishes and the islands licking-clean*
ΔΗΜΟΣ νὴ τὸν Ποσειδῶ πολύ γ' ἄμεινον ὦ Γλάνι.
*by — Poseidon much at-least better O Glanis*
ΚΛΕΩΝ ὦ τᾶν ἄκουσον, εἶτα διάκρινον τόδε.
*O my-friend hear then decide this*
ἔστι γυνή, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
*there-is woman she-will-bear and lion holy in Athens*
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται
*who for the people with-many gnats will-fight*
ὥστε περὶ σκύμνοισι βεβηκώς· τὸν σὺ φυλάξαι,
*as-if over cubs having-stood whom you to-guard*
τεῖχος ποιήσας ξύλινον πύργους τε σιδηροῦς.
*wall having-made of-wood towers and of-iron*
ταῦτ' οἶσθ' ὅ τι λέγει; ΔΗΜΟΣ μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
*these you-know what thing he-says by — Apollo I indeed not*
ΚΛΕΩΝ ἔφραζεν ὁ θεός σοι σαφῶς σῴζειν ἐμέ·
*told the god you clearly to-keep-safe me*
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.
*I for instead-of the lion am to-you*

ΔΗΜΟΣ καὶ πῶς μ᾽ ἐλελήθης Ἀντιλέων γεγενημένος;
*and how me did-you-escape Antileon having-become*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών, 1045
*one-thing not he-teaches you of-the oracles willingly*

ὃ μόνον σιδηροῦν ἐστι τεῖχος καὶ ξύλον,
*which alone of-iron is wall and wood*

ἐν ᾧ σε σῴζειν τόνδ᾽ ἐκέλευσ᾽ ὁ Λοξίας.
*in which you to-keep this-one bade — Loxias*

ΔΗΜΟΣ πῶς δῆτα τοῦτ᾽ ἔφραζεν ὁ θεός; ΑΛΛΑΝΤΟΠΩΛΗΣ τουτονὶ
*how then this told the god this-here*

δῆσαί σ᾽ ἐκέλευ᾽ ἐν πεντεσυρίγγῳ ξύλῳ.
*to-bind you he-bade in five-holed wood*

ΔΗΜΟΣ ταυτὶ τελεῖσθαι τὰ λόγι᾽ ἤδη μοι δοκεῖ. 1050
*these-here to-be-fulfilled the oracles now to-me seem*

ΚΛΕΩΝ μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
*not obey jealous for croak-at crows*

ἀλλ᾽ ἱέρακα φίλει μεμνημένος ἐν φρεσὶν ὅς σοι
*but hawk love remembering in mind who for-you*

ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
*brought having-bound of-Lacedaemonians sprats*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τοῦτό γέ τοι Παφλαγὼν
*this at-least surely Paphlagon*

παρεκινδύνευσε μεθυσθείς.
*ventured drunk*

Κεκροπίδη κακόβουλε τί τοῦθ᾽ ἡγεῖ μέγα τοὔργον; 1055
*son-of-Cecrops ill-counseled why this do-you-think great the-deed*

καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη·
*and — woman could-bear burden when — man should-load*

ἀλλ᾽ οὐκ ἂν μαχέσαιτο· χέσαιτο γάρ, εἰ μαχέσαιτο.
*but not — he-would-fight he-would-shit for if he-should-fight*

ΚΛΕΩΝ ἀλλὰ τόδε φράσσαι, πρὸ Πύλου
*but this consider before Pylos*
Πύλον ἥν σοι ἔφραζεν.
*Pylos which to-you he-told*
ἔστι Πύλος πρὸ Πύλοιο —
*there-is Pylos before Pylos*
ΔΗΜΟΣ τί τοῦτο λέγει, πρὸ Πύλοιο;
*what this he-says before Pylos*
1060 ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.
*the tubs he-says to-seize in bathhouse*
ΔΗΜΟΣ ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι;
*I and unwashed today shall-become*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὗτος γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
*this for our the tubs snatched-away*
ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
*but this-here for is about the fleet*
ὁ χρησμός, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
*the oracle to-which you must attend the mind very*
1065 ΔΗΜΟΣ προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου
*I-attend you and read to-the sailors my*
ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.
*how the pay first will-be-paid*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ Αἰγεΐδη φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,
*son-of-Aegeus beware dog-fox lest you it-trick*
λαίθαργον ταχύπουν, δολίαν κερδὼ πολύιδριν.
*lurking swift-footed wily fox much-knowing*
οἶσθ' ὅ τι ἐστὶν τοῦτο;
*do-you-know what thing is this*
ΔΗΜΟΣ Φιλόστρατος ἡ κυναλώπηξ.
*Philostratus the dog-fox*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε
*not this he-says but ships each-time*
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί·
*asks swift money-collecting this-here*
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
*these forbids not to-give you — Loxias*
ΔΗΜΟΣ πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ; ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὅπως;
*how indeed trireme is dog-fox how*
ὅτι ἡ τριήρης ἐστὶ χὠ κύων ταχύ.
*because the trireme is and-the dog swift*
ΔΗΜΟΣ πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί;
*how then fox was-added to the dog*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,
*to-fox-cubs the soldiers he-likened*
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
*because grapes they-munch in the fields*
ΔΗΜΟΣ εἶεν·
*well*
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;
*for-these the pay the fox-cubs where*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ ποριῶ, καὶ τοῦτον ἡμερῶν τριῶν.
*I will-provide also this for-days three*
ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι ἐξαλέασθαι
*but still this hear which said to-you to-avoid*
χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.
*oracle Leto's-son Cyllene lest you it-trick*
ΔΗΜΟΣ ποίαν Κυλλήνην; ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὴν τούτου χεῖρ' ἐποίησεν
*what Cyllene the of-this hand he-made*
Κυλλήνην ὀρθῶς, ὁτιή φησ', "ἔμβαλε κυλλῇ."
*Cyllene rightly because he-says throw-in to-the-crooked*

ΚΛΕΩΝ οὐκ ὀρθῶς φράζει· τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
*not rightly he-tells — Cyllene for — Phoebus*
ἐς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
*at the hand rightly hinted the of-Diopeithes*
ἀλλὰ γάρ ἐστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτός,
*but for is to-me oracle about you winged*
αἰετὸς ὡς γίγνει καὶ πάσης γῆς βασιλεύεις.
*eagle that you-become and of-all earth you-are-king*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ γὰρ ἐμοί· καὶ γῆς
*and for to-me and of-earth*
καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης,
*and of-the red at-least sea*
χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.
*and-that at-least in Ecbatana you-will-judge licking cakes*
ΚΛΕΩΝ ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοὐδόκει ἡ θεὸς αὐτὴ
*but I saw dream and to-me-it-seemed the goddess herself*
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.
*of-the people to-pour-down with-ladle wealth-and-health*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ νὴ Δία καὶ γὰρ ἐγώ· καί μοὐδόκει ἡ θεὸς αὐτὴ
*by Zeus and for I and to-me-it-seemed the goddess herself*
ἐκ πόλεως ἐλθεῖν καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι·
*from acropolis to-come and owl on-her to-sit*
εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
*then to-pour down the head from-oil-flask*
ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.
*ambrosia down you down this-one and garlic-brine*
ΔΗΜΟΣ ἰοὺ ἰού.
*oh oh*
οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
*not was-there then anyone — than-Glanis wiser*

καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
*and now myself I-entrust to-you this-here*
γεροντ̣αγωγεῖν κἀναπαιδεύειν πάλιν.
*to-guide-in-age and-to-re-educate again*
ΚΛΕΩΝ μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
*not-yet at-least I-beseech you but wait since I*
κριθὰς πορι̣ῶ σοι καὶ βίον καθ' ἡμέραν.
*barley will-provide you and livelihood by day*
ΔΗΜΟΣ οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
*not I-can-bear of-barley hearing often*
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.
*I-was-deceived by both you and Thouphanes*
ΚΛΕΩΝ ἀλλ' ἄλφιτ' ἤδη σοι πορι̣ῶ 'σκευασμένα.
*but barley-meal now to-you will-provide prepared*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας
*I and barley-cakes at-least kneaded*
καὶ τοὔψον ὀπτόν· μηδὲν ἄλλ' εἰ μὴ 'σθιε.
*and the-dish roasted nothing else if not eat*
ΔΗΜΟΣ ἀνύσατέ νυν ὅ τι περ ποιήσεθ'· ὡς ἐγώ,
*hurry now what thing indeed you-will-do since I*
ὁπότερος ἂν σφῷν νῦν με μᾶλλον εὖ ποιῇ,
*whichever — of-you-two now me more well treats*
τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας.
*to-this-one will-hand-over — of-Pnyx the reins*
ΚΛΕΩΝ τρέχοιμ' ἂν εἴσω πρότερος.
*I-would-run — inside first*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ δῆτ' ἀλλ' ἐγώ.
*not then but I*

*The chorus chides Demos for being flattered and gaping at speakers. He answers that he plays the fool on purpose: he fattens one thieving champion and, when the man is full, strikes him down and makes him vomit what he stole.*

ΧΟΡΟΣ ὦ Δῆμε καλήν γ' ἔχεις
*O Demos fine at-least you-have*
ἀρχήν, ὅτε πάντες ἄνθρωποι
*rule since all men*
δεδίασί σ' ὥσπερ
*fear you like*
ἄνδρα τύραννον.
*man tyrant*
ἀλλ' εὐπαράγωγος εἶ,
*but easily-led you-are*
θωπευόμενός τε χαίρεις
*being-flattered and you-rejoice*
κἀξαπατώμενος,
*and-being-deceived*
πρὸς τόν τε λέγοντ' ἀεὶ
*at the and speaker always*
κέχηνας· ὁ νοῦς δέ σου
*you-gape the mind and of-you*
παρὼν ἀποδημεῖ.
*present is-abroad*
ΔΗΜΟΣ νοῦς οὐκ ἔνι ταῖς κόμαις
*mind not is-in the long-hair*
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
*your since me not to-think*

νομίζετ'· ἐγὼ δ' ἑκὼν
*you-suppose I and willingly*
ταῦτ' ἠλιθιάζω.
*this play-the-fool*
αὐτός τε γὰρ ἥδομαι
*myself and for I-am-pleased*
βρύλλων τὸ καθ' ἡμέραν,
*guzzling the by day*
κλέπτοντά τε βούλομαι
*stealing and I-wish*
τρέφειν ἕνα προστάτην·
*to-rear one champion*
τοῦτον δ', ὅταν ᾖ πλέως,
*this and when he-is full*
ἄρας ἐπάταξα.
*lifting I-strike*
ΧΟΡΟΣ χοὔτω μὲν ἂν εὖ ποιοῖς,
*and-so indeed — well you-would-do*
εἴ σοι πυκνότης ἔνεστ'
*if in-you shrewdness is-in*
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
*in the way as you-say*
τούτῳ πάνυ πολλή,
*this very much*
εἰ τούσδ' ἐπίτηδες ὥσπερ
*if these on-purpose like*
δημοσίους τρέφεις
*public-victims you-rear*
ἐν τῇ πυκνί, κᾆθ' ὅταν
*in — Pnyx and-then when*

μή σοι τύχῃ ὄψον ὄν,
*not for-you happens meat being*
τούτων ὃς ἂν ᾖ παχύς,
*of-these whoever — is fat*
θύσας ἐπιδειπνεῖς.
*having-sacrificed you-dine-on*
ΔΗΜΟΣ σκέψασθε δέ μ', εἰ σοφῶς
*look and me if wisely*
αὐτοὺς περιέρχομαι
*them I-get-around*
τοὺς οἰομένους φρονεῖν
*the thinking to-be-wise*
κἄμ' ἐξαπατύλλειν.
*and-me to-cheat*
τηρῶ γὰρ ἑκάστοτ' αὐτοὺς
*I-watch for each-time them*
οὐδὲ δοκῶν ὁρᾶν
*not-even seeming to-see*
κλέπτοντας· ἔπειτ' ἀναγκάζω
*stealing then I-compel*
πάλιν ἐξεμεῖν
*back to-vomit-up*
ἅττ' ἂν κεκλόφωσί μου,
*whatever — they-have-stolen of-me*
κημὸν καταμηλῶν.
*voting-funnel probing-down*

*The rivals race to serve Demos with a stool, cakes, soup, fish, wine, and hare, and the Sausage-seller steals the Paphlagonian's hare and serves it as his own. Their boxes show the Paphlagonian keeping back most of what he took. The Paphlagonian tests the Sausage-seller against his last oracle, on his schooling, trade, and selling place, finds him the destined man, and yields the garland. The victor gives his name, Agoracritus, and Demos entrusts himself to him and hands over the Paphlagonian.*

ΚΛΕΩΝ ἄπαγ' ἐς μακαρίαν ἐκποδών.
*be-off to blessedness out-of-the-way*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ σύ γ' ὦ φθόρε.
*you at-least O pest*

ΚΛΕΩΝ ὦ Δῆμ' ἐγὼ μέντοι παρεσκευασμένος
*O Demos I however prepared*
τρίπαλαι κάθημαι βουλόμενός σ' εὐεργετεῖν.
*thrice-long-since sit wishing you to-benefit*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ δεκάπαλαί γε καὶ δωδεκάπαλαι
*I and ten-times-long-since at-least and twelve-times-long-since*
καὶ χιλιόπαλαι καὶ προπαλαιπαλαίπαλαι. 1155
*and thousand-times-long-since and long-long-long-long-since-before*

ΔΗΜΟΣ ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι
*I and expecting at-least thirty-thousand-times-long-since*
βδελύττομαί σφω καὶ προπαλαιπαλαίπαλαι.
*I-loathe you-two and long-long-long-long-since-before*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἶσθ' οὖν ὃ δρᾶσον;
*do-you-know then what do*

ΔΗΜΟΣ εἰ δὲ μή, φράσεις γε σύ.
*if and not you-will-tell at-least you*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
*let-off from starting-line me both and this-here*
ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου. ΔΗΜΟΣ δρᾶν ταῦτα χρή.
*so-that you well we-may-treat on equal to-do this one-must*
ἄπιτον. ΚΛΕΩΝ ΚΑΙ ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἰδού. ΔΗΜΟΣ θέοιτ' ἄν.
*go look you-may-run —*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὑποθεῖν οὐκ ἐῶ.
*to-run-ahead not I-allow*
ΔΗΜΟΣ ἀλλ' ἦ μεγάλως εὐδαιμονήσω τήμερον
*but — greatly I-shall-prosper today*
ὑπὸ τῶν ἐραστῶν νὴ Δί' ἦ 'γὼ θρύψομαι.
*by the lovers by Zeus or I will-give-myself-airs*
ΚΛΕΩΝ ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.
*you-see I for-you first bring-out stool*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.
*but not table but I first-of-all*
ΚΛΕΩΝ ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγὼ
*look I-bring you this little-barley-cake I*
ἐκ τῶν ὁλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
*from the barley-grains the from Pylos kneaded*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
*I and scoops scooped-out*
ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τῇλεφαντίνῃ.
*by the goddess with-the hand the-ivory*
ΔΗΜΟΣ ὡς μέγαν ἄρ' εἶχες ὦ πότνια τὸν δάκτυλον.
*how great then you-had O lady the finger*
ΚΛΕΩΝ ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλόν·
*I and pea-soup at-least of-pease good-colored and fine*
ἐτόρυνε δ' αὖθ' ἡ Παλλὰς ἡ Πυλαιμάχος.
*stirred and it — Pallas the Gate-fighter*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὦ Δῆμ᾽ ἐναργῶς ἡ θεός σ᾽ ἐπισκοπεῖ,
*O Demos plainly the goddess you watches-over*
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
*and now holds-over you pot of-broth full*
ΔΗΜΟΣ οἴει γὰρ οἰκεῖσθ᾽ ἂν ἔτι τήνδε τὴν πόλιν, 1175
*do-you-think for to-be-inhabited — still this the city*
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
*if not plainly over-us held the pot*
ΚΛΕΩΝ τουτὶ τέμαχός σοὔδωκεν ἡ Φοβεσιστράτη.
*this-here fish-slice to-you-gave the Rout-of-Armies*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἡ δ᾽ Ὀβριμοπάτρα γ᾽ ἐφθὸν ἐκ ζωμοῦ κρέας
*the and Mighty-Fathered at-least boiled from broth meat*
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.
*and of-tripe of-maw and and of-belly slice*
ΔΗΜΟΣ καλῶς γ᾽ ἐποίησε τοῦ πέπλου μεμνημένη. 1180
*well at-least she-did of-the robe remembering*
ΚΛΕΩΝ ἡ Γοργολόφα σ᾽ ἐκέλευε τουτουὶ φαγεῖν
*the Gorgon-crested you bade of-this-here to-eat*
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
*of-oar-cake so-that the ships we-may-row well*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ λαβὲ καὶ ταδί νυν.
*take also these-here now*
ΔΗΜΟΣ καὶ τί τούτοις χρήσομαι
*and what with-these shall-I-do*
τοῖς ἐντέροις; ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐπίτηδες αὖτ᾽ ἔπεμψέ σοι
*for-the guts on-purpose them sent you*
ἐς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός· 1185
*for the triremes gut-timbers the goddess*
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
*she-watches-over for plainly the fleet*

ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
*here also to-drink mixed three and two*

ΔΗΜΟΣ ὡς ἡδὺς ὦ Ζεῦ καὶ τὰ τρία φέρων καλῶς.
*how sweet O Zeus and the three bearing well*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν.
*the Trito-born for it thrice-mixed-in*

ΚΛΕΩΝ λαβέ νυν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
*take now of-cake rich from me slice*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
*from me and whole at-least the cake this-here*

ΚΛΕΩΝ ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς, ἀλλ' ἐγώ.
*but not hare-meat you-will-have whence you-may-give but I*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἴμοι, πόθεν λαγῷά μοι γενήσεται;
*ah-me whence hare-meat for-me will-come*

ὦ θυμὲ νυνὶ βωμολόχον ἔξευρέ τι.
*O heart now buffoonery find something*

ΚΛΕΩΝ ὁρᾷς τάδ' ὦ κακόδαιμον; ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὀλίγον μοι μέλει·
*you-see these O ill-starred little to-me it-matters*

ἐκεινοὶ γὰρ ὡς ἔμ' ἔρχονταί τινες
*those-there for to me come some*

πρέσβεις ἔχοντες ἀργυρίου βαλλάντια.
*envoys having of-silver purses*

ΚΛΕΩΝ ποῦ ποῦ; ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί δέ σοι τοῦτ';
*where where what and to-you this*

οὐκ ἐάσεις τοὺς ξένους;
*not will-you-let-alone the strangers*

ὦ Δημίδιον ὁρᾷς τὰ λαγῷ' ἃ σοι φέρω;
*O little-Demos you-see the hare-meats which to-you I-bring*

ΚΛΕΩΝ οἴμοι τάλας ἀδίκως γε τἄμ' ὑφήρπασας.
*ah-me wretched unjustly at-least the-mine you-snatched*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ νὴ τὸν Ποσειδῶ καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
*by — Poseidon and you for the from Pylos*

ΔΗΜΟΣ εἶπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;
*tell I-beg how you-thought-of to-snatch*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.
*the indeed thought of-the goddess the and theft mine*

ΚΛΕΩΝ ἐγὼ δ' ἐκινδύνευσ', ἐγὼ δ' ὤπτησά γε.
*I and ran-the-risk I and roasted at-least*

ΔΗΜΟΣ ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις. 1205
*go-away not for but of-the server the gratitude*

ΚΛΕΩΝ οἴμοι κακοδαίμων, ὑπεραναιδευθήσομαι.
*ah-me ill-starred I-shall-be-out-shamelessed*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τί οὐ διακρίνεις Δῆμ' ὁπότερός ἐστι νῷν
*why not do-you-decide Demos which is of-us-two*

ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;
*man better toward you and the belly*

ΔΗΜΟΣ τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
*by-what then — you using proof*

δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς; 1210
*might-I-seem to-judge for-the spectators wisely*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
*I will-tell you the my box going*

ξύλλαβε σιωπῇ καὶ βασάνισον ἅττ' ἔνι,
*search in-silence and examine what is-in*

καὶ τὴν Παφλαγόνος· κἀμέλει κρινεῖς καλῶς.
*and the of-Paphlagon and-never-fear you-will-judge well*

ΔΗΜΟΣ φέρ᾽ ἴδω τί οὖν ἔνεστιν;
*come let-me-see what then is-in*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐχ ὁρᾷς κενὴν
*not do-you-see empty*

1215 ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
*O little-daddy all for to-you I-served*

ΔΗΜΟΣ αὕτη μὲν ἡ κίστη τὰ τοῦ Δήμου φρονεῖ.
*this indeed the box the — of-Demos thinks*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ βάδιζέ νυν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
*walk now also here to the of-Paphlagon*

ὁρᾷς τάδ᾽; ΔΗΜΟΣ οἴμοι τῶν ἀγαθῶν ὅσων πλέα.
*you-see these ah-me of-the goods how-much full*

ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο·
*how-great the thing of-the cake he-stored-away*

1220 ἐμοὶ δ᾽ ἔδωκεν ἀποτεμὼν τυννουτονί.
*to-me and he-gave having-cut-off so-tiny*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τοιαῦτα μέντοι καὶ πρότερόν σ᾽ ἠργάζετο·
*such-things however also before you he-did*

σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν,
*to-you indeed he-gave little of-what he-took*

αὐτὸς δ᾽ ἑαυτῷ παρετίθει τὰ μείζονα.
*himself and for-himself served the greater*

ΔΗΜΟΣ ὦ μιαρὲ κλέπτων δή με ταῦτ᾽ ἐξηπάτας;
*O foul stealing then me these you-deceived*

1225 ἐγὼ δέ τυ ἐστεφάνιξα κἀδωρησάμαν.
*I and you crowned and-gave-gifts*

ΚΛΕΩΝ ἐγὼ δ᾽ ἔκλεπτον ἐπ᾽ ἀγαθῷ γε τῇ πόλει.
*I and stole for good at-least to-the city*

ΔΗΜΟΣ κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτῳὶ
*lay-down quickly the garland so-that I on-this-here*
αὐτὸν περιθῶ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ κατάθου ταχέως μαστιγία.
*it may-put lay-down quickly whipping-post*
ΚΛΕΩΝ οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς
*not then since for-me oracle is Pythian*
φράζων ὑφ' οὗ †δεήσει μ'† ἡττᾶσθαι μόνου. 1230
*telling by whom it-will-be-needful me to-be-defeated alone*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
*the-mine at-least telling name and too clearly*
ΚΛΕΩΝ καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
*and truly you to-test I-wish by-proof*
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
*if at-all you-will-agree of-the god with-the oracles*
καί σου τοσοῦτον πρῶτον ἐκπειράσομαι·
*and of-you so-much first I-will-test*
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου; 1235
*boy being you-went to whose teacher*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην.
*in the singeing-places with-knuckles I-was-tuned*
ΚΛΕΩΝ πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
*how did-you-say how of-me oracle touches the-mind*
εἶεν.
*well*
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
*in trainer's and what wrestling-hold did-you-learn*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντίον·
*stealing to-perjure and to-look straight*

ΚΛΕΩΝ ὦ Φοῖβ' Ἄπολλον Λύκιε τί ποτέ μ' ἐργάσει;
*O Phoebus Apollo Lycian what ever me will-you-do*
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
*trade and what ever did-you-have becoming-a-man*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἠλλαντοπώλουν καί τι καὶ βινεσκόμην.
*I-sold-sausages and somewhat also got-fucked*
ΚΛΕΩΝ οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
*ah-me ill-starred no-longer nothing am I*
λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
*slender some hope is on which we-ride*
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
*and to-me so-much tell whether in market*
ἠλλαντοπώλεις ἐτεὸν ἢ 'πὶ ταῖς πύλαις;
*you-sold-sausages truly or at the gates*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.
*at the gates where the salt-fish is-for-sale*
ΚΛΕΩΝ οἴμοι πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
*ah-me is-accomplished of-the god the oracle*
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
*roll inside this the ill-fated*
ὦ στέφανε χαίρων ἄπιθι, κεἴ σ' ἄκων ἐγὼ
*O garland rejoicing go-away and-if you unwilling I*
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
*leave you and other someone having-taken will-possess*
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
*thief indeed not — more lucky and perhaps*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ Ἑλλάνιε Ζεῦ σὸν τὸ νικητήριον.
*Hellenic Zeus your the victory-prize*

ΧΟΡΟΣ ὦ χαῖρε καλλίνικε καὶ μέμνησ᾽ ὅτι
*O hail glorious-victor and remember that*
ἀνὴρ γεγένησαι δι᾽ ἐμέ· καί σ᾽ αἰτῶ βραχύ, 1255
*man you-have-become through me and you I-ask a-little*
ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
*that I-may-be to-you Phanus clerk of-suits*
ΔΗΜΟΣ ἐμοὶ δέ γ᾽ ὅ τι σοι τοὔνομ᾽ εἴπ᾽.
*to-me and at-least what thing to-you the-name tell*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ Ἀγοράκριτος·
*Agoracritus*
ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
*in the-market for disputing I-was-fed*
ΔΗΜΟΣ Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω,
*to-Agoracritus well-then myself I-entrust*
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί. 1260
*and — Paphlagon I-hand-over this-here*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ μὴν ἐγώ σ᾽ ὦ Δῆμε θεραπεύσω καλῶς,
*and truly I you O Demos will-tend well*
ὥσθ᾽ ὁμολογεῖν σε μηδέν᾽ ἀνθρώπων ἐμοῦ
*so-that to-agree you no-one of-men than-me*
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.
*to-have-seen better for-the of-Gapers city*

*The chorus would sing of horsemen rather than pain Lysistratus or the starving Thumantis, then turns on the wicked: the debauched Ariphrades, the glutton Cleonymus, and Hyperbolus, whom the triremes refuse to follow to Carthage.*

ΧΟΡΟΣ τί κάλλιον ἀρχομένοισιν
*what finer for-those-beginning*
ἢ καταπαυομένοισιν
*or for-those-ceasing*
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν, †μηδὲν ἐς† Λυσίστρατον,
*than of-swift horses drivers to-sing nothing at Lysistratus*
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ;
*nor Thumantis the homeless in-turn to-pain with-willing heart*
καὶ γὰρ οὗτος ὦ φίλ' Ἄπολλον ἀεὶ πεινῇ, θαλεροῖς δακρύοις
*and for this O dear Apollo always hungers with-fresh tears*
σᾶς ἀπτόμενος φαρέτρας Πυθῶνι δίᾳ μὴ κακῶς πένεσθαι.
*your clasping quiver at-Pytho divine not badly to-be-poor*
λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον,
*to-abuse the wicked nothing is invidious*
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
*but honor for-the good whoever well reckons*
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά,
*if indeed then the-man whom one-must much to-hear and evil*
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
*himself were conspicuous not — of-man I-would-have-made-mention dear*
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
*now and Arignotus for no-one who not knows*
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.
*who either the white knows or the orthian tune*

ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συγγενής,
*is then brother to-him the ways not akin*
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
*Ariphrades wicked but this indeed also he-wishes*
ἔστι δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
*is and not only wicked not for not-even — would-I-have-noticed*
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξηύρηκέ τι.
*nor all-wicked but also has-invented something*
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
*the for his-own tongue with-shameful pleasures he-defiles*
ἐν κασωρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
*in brothels licking the abominable dew*
καὶ μολύνων τὴν ὑπήνην καὶ κυκῶν τὰς ἐσχάρας,
*and fouling the beard and stirring the hearths*
καὶ Πολυμνήστεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ.
*and Polymnestus-songs making and associating-with Oeonichus*
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
*whoever then such man not very loathes*
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.
*not ever from the-same with us will-drink cup*
ἦ πολλάκις ἐννυχίαισι
*truly often in-nightly*
φροντίσι συγγεγένημαι,
*thoughts I-have-kept-company-with*
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυμος.
*and have-searched whence ever cheaply eats Cleonymus*
φασὶ μὲν γὰρ αὐτὸν ἐρεπτόμενον τὰ τῶν ἐχόντων ἀνέρων
*they-say indeed for him grazing the of-the having men*

οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης·
*not — to-come-out from the bin*
τοὺς δ' ἀντιβολεῖν ἂν ὅμως·
*they and to-beg — nevertheless*
"ἴθ' ὦ ἄνα πρὸς γονάτων, ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ."
*go O lord by the-knees come-out and grant-pardon to-the table*
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον,
*they-say with-one-another to-come-together the triremes into talk*
καὶ μίαν λέξαι τιν' αὐτῶν ἥτις ἦν γεραιτέρα·
*and one to-say some of-them who was older*
"οὐδὲ πυνθάνεσθε ταῦτ' ὦ παρθένοι τὰν τῇ πόλει;
*not-even do-you-learn these O maidens the-in the city*
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καρχηδόνα
*they-say to-ask some of-us hundred to Carthage*
ἄνδρα μοχθηρὸν πολίτην ὀξίνην Ὑπέρβολον·"
*man worthless citizen sour Hyperbolus*
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετόν,
*to-them and to-seem terrible to-be this and-not bearable*
καί τιν' εἰπεῖν ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει·
*and some to-say who of-men nearer not had-come*
"ἀποτρόπαι' οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ',
*avert-it not then me at-least he-will-command ever*
ἀλλ' ἐάν με χρῇ,
*but if me it-be-needful*
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι·"
*by worms rotted here I-will-grow-old*
"οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ' ὦ θεοί,
*nor Nauphante at-least the of-Nauson not then O gods*
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
*if-indeed from pine at-least and-I and timbers was-fixed*

ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
*if and pleases this Athenians to-sit to-me it-seems*
ἐς τὸ Θησεῖον πλεούσαις ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
*at — Theseum sailing or at the august goddesses*
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει·
*not for our at-least as-general he-will-mock at-the city*
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
*but let-him-sail separate himself to crows if he-wishes*
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας." 1315
*the tubs in which he-sold the lamps having-launched*

## XIV · DEMOS RESTORED

*Agoracritus calls for silence and announces that he has boiled Demos down and made him handsome. Demos appears in ancient Athens of the violet crown, dressed as when he dined with Aristides and Miltiades and smelling of truces, not ballots, and the chorus hails him as king of the Greeks.*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ εὐφημεῖν χρὴ καὶ στόμα κλῄειν
*to-speak-well one-must and mouth to-shut*
καὶ μαρτυριῶν ἀπέχεσθαι,
*and from-witnesses to-abstain*
καὶ τὰ δικαστήρια συγκλῄειν οἷς ἡ πόλις ἥδε γέγηθεν,
*and the courts to-shut-up in-which the city this delights*
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.
*at new and good-fortunes to-sing-paean the audience*

ΧΟΡΟΣ ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε,
*O to-the holy light Athens and to-the islands helper*

τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις,
*what having report good do-you-come*

ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς;
*for which shall-we-make-savory streets*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὸν Δῆμον ἀφεψήσας ὑμῖν
*— Demos having-boiled-down for-you*

καλὸν ἐξ αἰσχροῦ πεποίηκα.
*fine from ugly I-have-made*

ΧΟΡΟΣ καὶ ποῦ 'στιν νῦν ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;
*and where is-he now O wonderful finding notions*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ
*in the violet-crowned dwells*

ταῖς ἀρχαίαισιν Ἀθήναις.
*the ancient Athens*

ΧΟΡΟΣ πῶς ἂν ἴδοιμεν; ποίαν τιν'
*how — might-we-see what-sort some*

ἔχει σκευήν; ποῖος γεγένηται;
*he-has dress what-sort he-has-become*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ οἷός περ Ἀριστείδῃ
*such-as indeed with-Aristides*

πρότερον καὶ Μιλτιάδῃ ξυνεσίτει.
*before and Miltiades he-dined*

ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων
*you-will-see and and for opening*

ψόφος ἤδη τῶν προπυλαίων.
*sound already of-the gateway*

ἀλλ' ὀλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν Ἀθήναις
*but raise-the-cry appearing for-the ancient Athens*

καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.
*and wonderful and much-hymned where the famous Demos dwells*

ΧΟΡΟΣ ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι,
*O the gleaming and violet-crowned and enviable Athens*

δείξατε τὸν τῆς Ἑλλάδος ὑμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον. 1330
*show the — of-Greece to-you and of-the land this monarch*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας,
*this-one he to-see cicada-wearing*

ἀρχαίῳ σχήματι λαμπρός,
*in-old fashion bright*

οὐ χοιρινῶν ὄζων ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.
*not of-ballot-shells smelling but of-truces with-myrrh anointed*

ΧΟΡΟΣ χαῖρ' ὦ βασιλεῦ τῶν Ἑλλήνων·
*hail O king of-the Greeks*

καί σοι ξυγχαίρομεν ἡμεῖς.
*and with-you rejoice-together we*

τῆς γὰρ πόλεως ἄξια πράττεις
*of-the for city worthy you-do*

καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
*and of-the at Marathon trophy*

*Agoracritus reminds Demos how flatterers used to fool him, and Demos, ashamed, vows to throw venal advocates into the pit, pay the rowers in full, and keep the hoplite rolls fixed. Agoracritus gives him a folding stool, a boy to carry it, and the thirty-year Truces the Paphlagonian had hidden. The Paphlagonian is sentenced to sell sausages at the gates, and Agoracritus is invited to the prytaneum.*

ΔΗΜΟΣ ὦ φίλτατ' ἀνδρῶν ἐλθὲ δεῦρ' Ἀγοράκριτε.
*O dearest of-men come here Agoracritus*

ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας. ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἐγώ;
*how-many-things me you-have-done good having-boiled-down I*

ἀλλ' ὦ μέλ' οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος,
*but O friend not you-know what-sort you-were yourself before*

οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
*nor what-things you-did me for you-would-think — god*

ΔΗΜΟΣ τί δ' ἔδρων, κάτειπέ μοι, πρὸ τοῦ; ποιός τις ἦ;
*what and was-I-doing tell me before this what-sort a-one was-I*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ πρῶτον μέν, ὁπότ' εἴποι τις ἐν τἠκκλησίᾳ,
*first indeed when said someone in the-assembly*

"ὦ Δῆμ' ἐραστής εἰμι σὸς φιλῶ τέ σε
*O Demos lover I-am your I-love and you*

καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,"
*and I-care-for you and I-take-counsel-for-you alone*

τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
*these when used someone preambles*

ἀνωρτάλιζες κἀκερουτίας. ΔΗΜΟΣ ἐγώ;
*you-flapped-your-wings and-tossed-your-horns I*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.
*then having-deceived you in-return-for these he-went-off*

ΔΗΜΟΣ τί φῄς;
*what do-you-say*

ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην;
*these-here me they-did I and this not perceived*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τὰ δ' ὦτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
*the and ears at-least — of-you by Zeus spread-open*

ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο.
*like parasol and back closed*

ΔΗΜΟΣ οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
*so senseless I-had-become and old*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε, 1350
*and by Zeus if at-least two should-speak speakers*

ὁ μὲν ποιεῖσθαι ναῦς μακρὰς ὁ δ' ἕτερος αὖ
*the one to-make ships long the and other in-turn*

καταμισθοφορῆσαι τοῦθ', ὁ τὸν μισθὸν λέγων
*to-spend-on-pay this the the pay speaking*

τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
*the the triremes having-outrun — went-off*

οὗτος τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
*you why do-you-stoop not in place will-you-stay*

ΔΗΜΟΣ αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις. 1355
*I-am-ashamed surely at-the former errors*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς,
*but not you of-these to-blame not worry*

ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νυνδὶ φράσον·
*but they-who you these deceived now tell*

ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος·
*if someone says buffoon advocate*

"οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
*not is-there for-you the jurors barley*

εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην·”
*if not you-convict this the suit*

τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;
*this-one what will-you-do tell the advocate*

ΔΗΜΟΣ ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
*having-lifted aloft into the pit I-will-throw*

ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
*from the throat having-hung Hyperbolus*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
*this-here indeed rightly and sensibly now you-speak*

τὰ δ’ ἄλλα, φέρ’ ἴδω, πῶς πολιτεύσει φράσον.
*the and rest come let-me-see how you-will-govern tell*

ΔΗΜΟΣ πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
*first indeed as-many-as ships row long*

καταγομένοις τὸν μισθὸν ἀποδώσω ’ντελῆ.
*coming-into-port the pay I-will-give-back in-full*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ πολλοῖς γ’ ὑπολίσφοις πυγιδίοισιν ἐχαρίσω.
*to-many at-least smooth-worn little-buttocks you-gave-favor*

ΔΗΜΟΣ ἔπειθ’ ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ
*then hoplite entered in register*

οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
*no-one through favor will-be-transferred*

ἀλλ’ ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
*but as it-was the first will-stand-enrolled*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ τοῦτ’ ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
*this bit the handle the of-Cleonymus*

ΔΗΜΟΣ οὐδ’ ἀγοράσει γ’ ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
*nor will-shop at-least beardless no-one in market*

ΑΛΛΑΝΤΟΠΩΛΗΣ ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
*where then Cleisthenes will-shop and Straton*

ΔΗΜΟΣ τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ,
*the lads these-here I-mean the-in the perfume-market*
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα·
*who chatter such-here-things sitting*
"σοφός γ' ὁ Φαίαξ δεξιῶς τ' οὐκ ἀπέθανεν.
*clever at-least — Phaeax cleverly and not he-died*
συνερτικὸς γάρ ἐστι καὶ περαντικός,
*compact for he-is and conclusive*
καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικός,
*and maxim-coining and clear and striking*
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ."
*captivating and best of-the uproarious*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;
*not-then finger-giver you of-the chatterer*
ΔΗΜΟΣ μὰ Δί' ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
*by Zeus but I-will-compel to-hunt I*
τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.
*these all having-stopped from-decrees*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
*take now on these this-here the folding-stool*
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·
*and boy balled who will-carry this for-you*
κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
*and-if anywhere it-seems to-you this folding-stool make*
ΔΗΜΟΣ μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.
*blessed to the-old-ways indeed I-am-restored*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας
*you-will-say at-least when the thirty-year*
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ Σπονδαὶ ταχύ.
*truces I-hand-over to-you here come the Truces quickly*

ΔΗΜΟΣ ὦ Ζεῦ πολυτίμηθ' ὡς καλαί· πρὸς τῶν θεῶν,
*O Zeus much-honored how beautiful by the gods*
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
*is-it-possible them to-thirty-year-truce-down*
πῶς ἔλαβες αὐτὰς ἐτέον; ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐ γὰρ ὁ Παφλαγὼν
*how did-you-get them really not for — Paphlagon*
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβῃς;
*was-hiding these inside so-that you not might-get*
νῦν οὖν ἐγώ σοι παραδίδωμ' ἐς τοὺς ἀγροὺς
*now then I to-you hand-over into the fields*
αὐτὰς ἰέναι λαβόντα. ΔΗΜΟΣ τὸν δὲ Παφλαγόνα,
*them to-go taking the and Paphlagon*
ὃς ταῦτ' ἔδρασεν, εἶφ' ὅ τι ποιήσεις κακόν.
*who these did tell what thing you-will-do evil*
ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην·
*nothing great but — the my he-will-have trade*
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
*at the gates he-will-sell-sausages alone*
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν,
*the dog-meat mixing with-the donkey affairs*
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,
*drunk and with-the whores he-will-trade-abuse*
κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.
*and-from the bathhouses he-will-drink the bathwater*
ΔΗΜΟΣ εὖ γ' ἐπενόησας οὗπέρ ἐστιν ἄξιος,
*well at-least you-devised of-which-indeed he-is worthy*
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι,
*with-whores and bath-men to-shout-it-out*
καί σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ
*and you in-return-for these to the prytaneum I-invite*

ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός. 1405
*into the seat and where that-one was the scapegoat*
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
*follow and this-here having-taken the frog-green-robe*
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
*and-him let-carry-out someone as to the trade*
ἵν' ἴδωσιν αὐτὸν οἷς ἐλωβᾶθ' οἱ ξένοι.
*so-that they-may-see him whom he-abused the foreigners*

***

*(lacuna)*

---

ARISTOPHANES

# ΣΦΗΚΕΣ

*The Wasps*

## I · THE JUROR LOCKED IN

*Two slaves on watch trade dreams, of Cleonymus dropping his shield and of a whale haranguing sheep on the Pnyx, then explain the plot: their old master Philocleon is mad for jury service, and his son Bdelycleon, after cures that failed, has netted the house and set them to guard him. Philocleon tries to escape as smoke through the chimney, under a donkey like Odysseus, and through the roof tiles, and is pushed back each time, while his fellow jurors are due at any moment.*

ΣΩΣΙΑΣ Οὗτος τί πάσχεις ὦ κακόδαιμον Ξανθία;
*you what do-you-suffer O ill-starred Xanthias*

ΞΑΝΘΙΑΣ φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.
*watch to-break-off nocturnal I-am-learning*

ΣΩΣΙΑΣ κακὸν ἆρα ταῖς πλευραῖς τι προὐφείλεις μέγα.
*evil — to-the ribs some do-you-owe great*

ἆρ' οἶσθά γ' οἷον κνώδαλον φυλάττομεν;
*— do-you-know at-least what-sort monster we-guard*

ΞΑΝΘΙΑΣ οἶδ', ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι. 5
*I-know but I-desire little to-let-care-slip*

ΣΩΣΙΑΣ σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
*you and then take-the-risk since even-of-myself at-least of-me*

κατὰ τοῖν κόραιν ὕπνου τι καταχεῖται γλυκύ.
*down the two-pupils of-sleep something is-poured sweet*

ΞΑΝΘΙΑΣ ἀλλ' ἦ παραφρονεῖς ἐτεὸν ἢ κορυβαντιᾷς;
*but — are-you-mad really or are-you-Corybant-struck*

ΣΩΣΙΑΣ οὔκ, ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.
*no but sleep me holds some from Sabazius*

ΞΑΝΘΙΑΣ τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον. 10
*the same then with-me you-tend Sabazius*

κἀμοὶ γὰρ ἀρτίως ἐπεστρατεύσατο
*and-on-me for just-now made-an-attack*

Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος·
*Mede some on the eyelids nodding sleep*
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.
*and then dream marvelous I-saw just-now*
ΣΩΣΙΑΣ κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
*and-I truly such-as never-yet*
ἀτὰρ σὺ λέξον πρότερος. ΞΑΝΘΙΑΣ ἐδόκουν αἰετὸν
*but you tell first I-thought eagle*
καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ
*swooping into the market great very*
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
*snatching-up in-the talons shield*
φέρειν ἐπίχαλκον ἀνεκὰς ἐς τὸν οὐρανόν,
*to-carry bronze-plated up into the sky*
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.
*and-then this to-throw-away Cleonymus*
ΣΩΣΙΑΣ οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
*nothing then from-riddle differs Cleonymus*
ΞΑΝΘΙΑΣ πῶς δή; ΣΩΣΙΑΣ προσερεῖ τις τοῖσι συμπόταις, λέγων
*how indeed will-address one to-the drinking-mates saying*
"τί ταὐτὸν ἐν γῇ τ' ἀπέβαλεν κἀν οὐρανῷ
*what the-same on land both threw-away and-in sky*
κἀν τῇ θαλάττῃ θηρίον τὴν ἀσπίδα;"
*and-in the sea beast the shield*
ΞΑΝΘΙΑΣ οἴμοι τί δῆτά μοι κακὸν γενήσεται
*ah-me what then for-me evil will-happen*
ἰδόντι τοιοῦτον ἐνύπνιον; ΣΩΣΙΑΣ μὴ φροντίσῃς.
*having-seen such dream not worry*
οὐδὲν γὰρ ἔσται δεινὸν οὐ μὰ τοὺς θεούς.
*nothing for will-be terrible not by the gods*

ΞΑΝΘΙΑΣ δεινόν γέ ποὔστ᾽ ἄνθρωπος ἀποβαλὼν ὅπλα.
*terrible at-least surely-is man having-thrown-away arms*
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον. ΣΩΣΙΑΣ ἀλλ᾽ ἐστὶν μέγα.
*but you the yours in-turn tell but it-is great*
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
*about the city for it-is the ship whole*
ΞΑΝΘΙΑΣ λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.
*tell now quickly something the keel of-the matter*
ΣΩΣΙΑΣ ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ
*it-seemed to-me about first sleep in — Pnyx*
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
*to-hold-assembly sheep sitting-together*
βακτηρίας ἔχοντα καὶ τριβώνια·
*staffs having and little-cloaks*
κἄπειτα τούτοις τοῖς προβάτοισι μοὐδόκει
*and-then to-these the sheep to-me-it-seemed*
δημηγορεῖν φάλαινα πανδοκεύτρια,
*to-harangue whale inn-keeping*
ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός.
*having voice of-burned sow*
ΞΑΝΘΙΑΣ αἰβοῖ. ΣΩΣΙΑΣ τί ἔστι; ΞΑΝΘΙΑΣ παῦε παῦε, μὴ λέγε·
*ugh what is-it stop stop not tell*
ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
*smells worst the-dream of-hide rotten*
ΣΩΣΙΑΣ εἶθ᾽ ἡ μιαρὰ φάλαιν᾽ ἔχουσα τρυτάνην
*then the foul whale having scale*
ἵστη βόειον δημόν. ΞΑΝΘΙΑΣ οἴμοι δείλαιος·
*was-weighing of-ox fat ah-me wretched*
τὸν δῆμον ἡμῶν βούλεται διστάναι.
*the people our she-wishes to-split*

ΣΩΣΙΑΣ ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
*seemed and to-me Theorus her near*
χαμαὶ καθῆσθαι τὴν κεφαλὴν κόρακος ἔχων.
*on-the-ground to-sit the head of-raven having*
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας,
*then Alcibiades said to me lisping*
"ὁλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει."
*you-see Theolus the head of-flatterer has*
ΞΑΝΘΙΑΣ ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
*rightly at-least this Alcibiades lisped*
ΣΩΣΙΑΣ οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
*not-then that strange — Theorus raven*
γιγνόμενος; ΞΑΝΘΙΑΣ ἥκιστ', ἀλλ' ἄριστον.
*becoming not-at-all but best*
ΣΩΣΙΑΣ πῶς; ΞΑΝΘΙΑΣ ὅπως;
*how how*
ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ·
*man being then he-became suddenly raven*
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
*not-then plain this to-interpret that*
ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται;
*lifted from us to crows he-will-go*
ΣΩΣΙΑΣ εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι
*then not I having-given two obols shall-hire*
οὕτως ὑποκρινόμενον σοφῶς ὀνείρατα;
*so interpreting wisely dreams*
ΞΑΝΘΙΑΣ φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
*come now let-me-tell to-the spectators the plot*
ὀλίγ' ἄτθ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
*little some having-prefaced first to-them these-here*

μηδὲν παρ᾽ ἡμῶν προσδοκᾶν λίαν μέγα,
*nothing from us to-expect too great*
μηδ᾽ αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
*nor in-turn laughter from-Megara stolen*
ἡμῖν γὰρ οὐκ ἔστ᾽ οὔτε κάρυ᾽ ἐκ φορμίδος
*to-us for not is neither nuts from basket*
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις,
*two-slaves scattering to-the spectators*
οὔθ᾽ Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
*nor Heracles the dinner being-cheated*
οὐδ᾽ αὖθις ἀνασελγαινόμενος Εὐριπίδης·
*nor again being-wantonly-abused Euripides*
οὐδ᾽ εἰ Κλέων γ᾽ ἔλαμψε τῆς τύχης χάριν,
*nor if Cleon at-least shone of-the fortune for-the-sake*
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
*again the same man we-shall-make-mincemeat*
ἀλλ᾽ ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
*but there-is to-us little-tale sense having*
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
*than-you indeed yourselves not cleverer*
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
*than-comedy and vulgar wiser*
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ
*there-is for to-us master that-one-there*
ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
*up sleeping the great the-on the roof*
οὗτος φυλάττειν τὸν πατέρ᾽ ἐπέταξε νῷν,
*this to-guard the father bade us-two*
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ ᾽ξίῃ.
*inside having-shut so-that out-of-doors not he-goes-out*

νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
*disease for the father strange of-his is-sick*
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι
*which not-even — one could-know ever nor — could-guess*
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.
*if not he-learned from-us since guess*
Ἀμυνίας μὲν ὁ Προνάπους φήσ' οὑτοσὶ
*Amynias indeed the of-Pronapes says this-here*
εἶναι φιλόκυβον αὐτόν· ἀλλ' οὐδὲν λέγει.
*to-be dice-loving him but nothing he-says*
ΣΩΣΙΑΣ μὰ Δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται.
*by Zeus but from himself the disease he-judges*
ΞΑΝΘΙΑΣ οὔκ, ἀλλὰ "φιλο" μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
*no but love- indeed is beginning of-the evil*
ὁδὶ δέ φησι Σωσίας πρὸς Δερκύλον
*this-here and says Sosias to Dercylus*
εἶναι φιλοπότην αὐτόν. ΣΩΣΙΑΣ οὐδαμῶς γ', ἐπεὶ
*to-be drink-loving him not-at-all at-least since*
αὕτη γε χρηστῶν ἐστιν ἀνδρῶν ἡ νόσος.
*this at-least of-good is men the disease*
ΞΑΝΘΙΑΣ Νικόστρατος δ' αὖ φησιν ὁ Σκαμβωνίδης
*Nicostratus and in-turn says the of-Scambonidae*
εἶναι φιλοθύτην αὐτὸν ἢ φιλόξενον.
*to-be sacrifice-loving him or stranger-loving*
ΣΩΣΙΑΣ μὰ τὸν κύν' ὦ Νικόστρατ' οὐ φιλόξενος,
*by the dog O Nicostratus not stranger-loving*
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
*since buggered is the at-least Philoxenus*

ΞΑΝΘΙΑΣ ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε. 85
*idly you-babble not for you-will-find*
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
*if indeed you-desire to-know be-silent now*
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
*I-will-tell for now the disease of-the master*
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ,
*court-loving he-is as no man*
ἐρᾷ τε τούτου, τοῦ δικάζειν, καὶ στένει
*he-loves and this the to-judge and groans*
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου. 90
*if not on the first he-sits bench*
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
*of-sleep and he-sees by-the night not-even a-pinch*
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
*if and then he-closes-his-eyes even a-speck nevertheless there*
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
*the mind flies the night around the water-clock*
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
*from the and the pebble at-least to-hold to-be-used*
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται, 95
*the three holding-together of-the fingers he-gets-up*
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
*as-if frankincense putting-on at-new-moon*
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
*and by Zeus if he-sees at-least somewhere written*
υἱὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλόν,
*son of-Pyrilampes on door Demus beautiful*
ἰὼν παρέγραψε πλησίον "κημὸς καλός."
*going he-wrote-beside near voting-funnel beautiful*

τὸν ἀλεκτρυόνα δ', ὃς ἦδ' ἀφ' ἑσπέρας, ἔφη
*the cock and who crowed from evening he-said*
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον,
*late to-wake him having-been-persuaded*
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
*from the accountable-officers having money*
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας,
*at-once and from supper he-has-shouted shoes*
κἄπειτ' ἐκεῖσ' ἐλθὼν προκαθεύδει πρῲ πάνυ,
*and-then there going he-sleeps-before early very*
ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι.
*like limpet clinging to-the pillar*
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν
*from peevishness and on-all assessing the long-line*
ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται
*like bee or bumblebee he-comes-in*
ὑπὸ τοῖς ὄνυξι κηρὸν ἀναπεπλασμένος.
*under the nails wax plastered*
ψήφων δὲ δείσας μὴ δεηθείη ποτέ,
*of-pebbles and fearing lest he-might-need ever*
ἵν' ἔχοι δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
*so-that he-might-have to-judge beach inside he-keeps*
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
*such he-raves being-admonished and always*
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν
*more he-judges this-one then we-guard*
μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ 'ξίῃ.
*with-bars having-bound so-that — not he-goes-out*
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
*the for son of-him the disease heavily bears*

καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος
*and first indeed with-words consoling*
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον
*tried-to-persuade him not to-wear little-cloak*
μηδ' ἐξιέναι θύραζ', ὁ δ' οὐκ ἐπείθετο.
*nor to-go-out out-of-doors he and not was-persuaded*
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ', ὁ δ' οὐ μάλα.
*then him he-bathed and-purified he and not much*
μετὰ τοῦτ' ἐκορυβάντιζ', ὁ δ' αὐτῷ τυμπάνῳ
*after this he-Corybant-initiated he and with-the-very drum*
ᾄξας ἐδίκαζεν ἐς τὸ καινὸν ἐμπεσών.
*darting judged into the New-Court falling-in*
ὅτε δῆτα ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
*when then with-these the rites not it-helped*
διέπλευσεν εἰς Αἴγιναν, εἶτα ξυλλαβὼν
*he-sailed-across to Aegina then seizing*
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ,
*by-night laid-down him in of-Asclepius*
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
*he and appeared at-dawn at the railing*
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρίεμεν,
*from-then no-longer him we-let-out*
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορροῶν
*he and ran-away through both the gutters*
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
*and the holes we and as-many-as were pierced*
ἐνεβύσαμεν ῥακίοισι κἀπακτώσαμεν,
*plugged with-rags and-made-fast*
ὁ δ' ὡσπερεὶ κολοιὸς αὑτῷ παττάλους
*he and as-if jackdaw for-himself pegs*

ἐνέκρουεν ἐς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
*knocked into the wall then leapt-out*

ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
*we and the courtyard whole with-nets*

καταπετάσαντες ἐν κύκλῳ φυλάττομεν.
*having-spread-over in circle we-guard*

ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων
*is and name for-the indeed old-man Philocleon*

ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῳδὶ Βδελυκλέων,
*yes by Zeus for-the and son at-least this-here Bdelycleon*

ἔχων τρόπους φρυαγμοσεμνάκους τίνας.
*having ways snorting-haughty some*

ΒΔΕΛΥΚΛΕΩΝ ὦ Ξανθία καὶ Σωσία, καθεύδετε;
*O Xanthias and Sosias are-you-sleeping*

ΞΑΝΘΙΑΣ οἴμοι. ΣΩΣΙΑΣ τί ἔστι; ΞΑΝΘΙΑΣ Βδελυκλέων ἀνίσταται.
*ah-me what is-it Bdelycleon gets-up*

ΒΔΕΛΥΚΛΕΩΝ οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἄτερος;
*not will-run-around of-you-two quickly here the-other*

ὁ γὰρ πατὴρ ἐς τὸν ἰπνὸν εἰσελήλυθε
*the for father into the oven has-gone-in*

καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει
*and creeps-like-a-mouse something having-slipped-in but watch*

κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
*down of-the bath-tub the hole see-that not he-will-slip-out*

σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. ΣΩΣΙΑΣ ταῦτ' ὦ δέσποτα.
*you and to-the door press-on these O master*

ΒΔΕΛΥΚΛΕΩΝ ἄναξ Πόσειδον τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
*lord Poseidon what ever then the chimney clatters*

οὗτος τίς εἶ σύ; ΦΙΛΟΚΛΕΩΝ καπνὸς ἔγωγ' ἐξέρχομαι.
*you who are you smoke I-at-least come-out*

ΒΔΕΛΥΚΛΕΩΝ καπνός; φέρ' ἴδω ξύλου τίνος σύ.
*smoke come let-me-see of-wood what you*

ΦΙΛΟΚΛΕΩΝ συκίνου.
*of-fig*

ΒΔΕΛΥΚΛΕΩΝ νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
*by — Zeus which-indeed at-least is sharpest of-smokes*

ἀτὰρ οὐκέτ' ἐρρήσεις γε, ποῦ 'σθ' ἡ τηλία;
*but no-longer will-you-get-off at-least where is the board*

δύου πάλιν· φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.
*get-in back come let-me-put-on you also log*

ἐνταῦθά νυν ζήτει τιν' ἄλλην μηχανήν.
*there now seek some other device*

ἀτὰρ ἄθλιός γ' εἴμ' ὡς ἕτερός γ' οὐδεὶς ἀνήρ,
*but wretched at-least am as other at-least no man*

ὅστις πατρὸς νυνὶ Καπνίου κεκλήσομαι.
*who of-father now of-Smoky shall-be-called*

ΣΩΣΙΑΣ ὅδε τὴν θύραν ὠθεῖ· ΒΔΕΛΥΚΛΕΩΝ πίεζέ νυν σφόδρα,
*he the door pushes press now hard*

εὖ κἀνδρικῶς· κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι.
*well and-manfully and-I for there come*

καὶ τῆς κατακλῄδος ἐπιμελοῦ, καὶ τοῦ μοχλοῦ
*and of-the lock take-care and of-the bar*

φύλατθ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
*guard see-that not the pin he-will-gnaw-out*

ΦΙΛΟΚΛΕΩΝ τί δράσετ'; οὐκ ἐκφρήσετ' ὦ μιαρώτατοι
*what will-you-do not will-you-let-out O foulest*

δικάσοντά μ', ἀλλ' ἐκφεύξεται Δρακοντίδης;
*to-judge me but will-be-acquitted Dracontides*

ΒΔΕΛΥΚΛΕΩΝ σὺ δὲ τοῦτο βαρέως ἂν φέροις; ΦΙΛΟΚΛΕΩΝ ὁ γὰρ θεὸς
*you and this heavily — would-bear the for god*
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτέ,
*consulting to-me-gave-an-oracle in Delphi once*
ὅταν τις ἐκφύγῃ μ' ἀποσκλῆναι τότε.
*when someone escapes me to-wither then*
ΒΔΕΛΥΚΛΕΩΝ Ἄπολλον ἀποτρόπαιε τοῦ μαντεύματος.
*Apollo averter of-the prophecy*
ΦΙΛΟΚΛΕΩΝ ἴθ' ἀντιβολῶ σ' ἔκφρες με, μὴ διαρραγῶ.
*come I-beg you let-out me lest I-burst*
ΒΔΕΛΥΚΛΕΩΝ μὰ τὸν Ποσειδῶ Φιλοκλέων οὐδέποτέ γε.
*by — Poseidon Philocleon never at-least*
ΦΙΛΟΚΛΕΩΝ διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.
*I-will-gnaw-through well-then with-teeth the net*
ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ' οὐκ ἔχεις ὀδόντας. ΦΙΛΟΚΛΕΩΝ οἴμοι δείλαιος·
*but not you-have teeth ah-me wretched*
πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε μοι ξίφος
*how — you could-I-kill how give me sword*
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν.
*as quickly-as-possible or tablet assessing*
ΒΔΕΛΥΚΛΕΩΝ ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.
*the-man this great some means-to-do evil*
ΦΙΛΟΚΛΕΩΝ μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι
*by — Zeus not then but to-sell I-wish*
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
*the donkey leading with-the-very the panniers*
νουμηνία γάρ ἐστιν. ΒΔΕΛΥΚΛΕΩΝ οὔκουν κἂν ἐγὼ
*new-moon for it-is not-then also I*
αὐτὸν ἀποδοίμην δῆτ' ἄν; ΦΙΛΟΚΛΕΩΝ οὐχ ὥσπερ γ' ἐγώ.
*it might-sell then — not as at-least I*

ΒΔΕΛΥΚΛΕΩΝ μὰ Δί᾽ ἀλλ᾽ ἄμεινον. ΦΙΛΟΚΛΕΩΝ ἀλλὰ τὸν ὄνον ἔξαγε.
*by Zeus but better but the donkey lead-out*

ΣΩΣΙΑΣ οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
*what pretext he-let-down how slyly*

ἵν᾽ αὐτὸν ἐκπέμψειας. ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ᾽ οὐκ ἔσπασεν 175
*so-that him you-might-send-out but not he-drew*

ταύτῃ γ᾽· ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
*this-way at-least I for perceived him-contriving*

ἀλλ᾽ εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ
*but going-in for-me the donkey to-lead-out I-think*

ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
*so-that — the old-man not-even peeps-out again*

κάνθων τί κλάεις; ὅτι πεπράσει τήμερον;
*donkey why do-you-weep because you-will-be-sold today*

βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις 180
*walk quicker why do-you-groan if not you-carry*

Ὀδυσσέα τιν᾽; ΣΩΣΙΑΣ ἀλλὰ ναὶ μὰ Δία φέρει
*Odysseus some but yes by Zeus he-carries*

κάτω γε τουτονί τιν᾽ ὑποδεδυκότα.
*down at-least this-here someone having-crept-under*

ΒΔΕΛΥΚΛΕΩΝ ποῖον; φέρ᾽ ἴδωμαι τουτονί. τουτὶ τί ἦν;
*what come let-me-see this-here this-here what was-it*

τίς εἶ ποτ᾽ ὦνθρωπ᾽ ἐτεόν; ΦΙΛΟΚΛΕΩΝ Οὖτις νὴ Δία.
*who are-you ever O-man really Nobody by Zeus*

ΒΔΕΛΥΚΛΕΩΝ Οὖτις σύ; ποδαπός; 185
*Nobody you of-what-country*

ΦΙΛΟΚΛΕΩΝ Ἴθακος Ἀποδρασιππίδου.
*Ithacan son-of-Runaway*

ΒΔΕΛΥΚΛΕΩΝ Οὔτις μὰ τὸν Δί᾽ οὔτι χαιρήσων γε σύ.
*Nobody by — Zeus not-at-all rejoicing at-least you*
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος
*draw-out quicker him O foulest*
ἵν᾽ ὑποδέδυκεν· ὥστ᾽ ἔμοιγ᾽ ἰνδάλλεται
*where he-has-crept-under so-that to-me-at-least he-appears*
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
*most-like of-summons-server to-be to-the-foal*
190 ΦΙΛΟΚΛΕΩΝ εἰ μή μ᾽ ἐάσεθ᾽ ἥσυχον, μαχούμεθα.
*if not me you-let quiet we-will-fight*
ΒΔΕΛΥΚΛΕΩΝ περὶ τοῦ μαχεῖ νῷν δῆτα;
*about what will-you-fight us-two then*
ΦΙΛΟΚΛΕΩΝ περὶ ὄνου σκιᾶς.
*about donkey's shadow*
ΒΔΕΛΥΚΛΕΩΝ πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.
*wicked you-are far in-art and reckless*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ πονηρός; οὐ μὰ Δί᾽ ἀλλ᾽ οὐκ οἶσθα σὺ
*I wicked not by Zeus but not know you*
νῦν μ᾽ ὄντ᾽ ἄριστον· ἀλλ᾽ ἴσως, ὅταν φάγῃς
*now me being best but perhaps when you-eat*
195 ὑπογάστριον γέροντος ἡλιαστικοῦ.
*paunch of-old-man juror*
ΒΔΕΛΥΚΛΕΩΝ ὦθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
*push the donkey and yourself into the house*
ΦΙΛΟΚΛΕΩΝ ὦ ξυνδικασταὶ καὶ Κλέων ἀμύνατε.
*O fellow-jurors and Cleon help*
ΒΔΕΛΥΚΛΕΩΝ ἔνδον κέκραχθι τῆς θύρας κεκλῃμένης.
*inside shout the door being-shut*
ὦθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
*push you many of-the stones against the door*

καὶ τὴν βάλανον ἔμβαλλε πάλιν ἐς τὸν μοχλόν,
*and the pin put back into the bar*

καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν
*and to-the beam having-set the mortar the great*

ἀνύσας τι προσκύλισον. ΣΩΣΙΑΣ οἴμοι δείλαιος·
*quickly something roll-up ah-me wretched*

πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βωλίον;
*whence ever has-fallen on-me the clod*

ΒΔΕΛΥΚΛΕΩΝ ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοί ποθεν.
*perhaps from-above mouse threw-down on-you from-somewhere*

ΣΩΣΙΑΣ μῦς; οὐ μὰ Δί' ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
*mouse not by Zeus but creeping-in someone this-here*

ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας.
*from-under the tiles juror roof-fellow*

ΒΔΕΛΥΚΛΕΩΝ οἴμοι κακοδαίμων, στροῦθος ἀνὴρ γίγνεται·
*ah-me ill-starred sparrow the-man becomes*

ἐκπτήσεται. ποῦ ποῦ 'στί μοι τὸ δίκτυον;
*he-will-fly-out where where is for-me the net*

σοῦ σοῦ, πάλιν σοῦ. νὴ Δί' ἦ μοι κρεῖττον ἦν
*shoo shoo back shoo by Zeus truly for-me better was*

τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.
*to-guard Scione than this the father*

ΣΩΣΙΑΣ ἄγε νυν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
*come now since this-here we-have-shooed*

κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
*and-not it-is how slipping-through — us still he-would-escape*

τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;
*why not did-we-sleep-off as-much as-much drop*

ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ᾽ ὦ πόνηρ᾽ ἥξουσιν ὀλίγον ὕστερον
*but O wretch they-will-come little later*

οἱ ξυνδικασταὶ παρακαλοῦντες τουτονὶ
*the fellow-jurors summoning this-here*

τὸν πατέρα. ΣΩΣΙΑΣ τί λέγεις; ἀλλὰ νῦν γ᾽ ὄρθρος βαθύς.
*the father what do-you-say but now at-least dawn deep*

ΒΔΕΛΥΚΛΕΩΝ νὴ τὸν Δί᾽, ὀψὲ γοῦν ἀνεστήκασι νῦν.
*by — Zeus late at-least they-have-risen now*

ὡς ἀπὸ μέσων νυκτῶν γε παρακαλοῦσ᾽ ἀεί,
*since from mid nights at-least they-summon always*

λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
*lamps having and humming songs*

ἀρχαῖα μελισιδωνοφρυνιχήρατα,
*old Melisidonian-Phrynichus-lovely*

οἷς ἐκκαλοῦνται τοῦτον. ΣΩΣΙΑΣ οὐκοῦν, ἢν δέῃ,
*with-which they-call-out this-one then if it-be-needful*

ἤδη ποτ᾽ αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
*now ever them with-the stones we-will-pelt*

ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ᾽ ὦ πόνηρε τὸ γένος ἤν τις ὀργίσῃ
*but O wretch the race if someone angers*

τὸ τῶν γερόντων, ἔσθ᾽ ὅμοιον σφηκιᾷ.
*the of-the old-men is like wasps'-nest*

ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
*they-have for also sting from the loin*

ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
*sharpest with-which they-sting and shouting*

πηδῶσι καὶ βάλλουσιν ὥσπερ φέψαλοι.
*they-leap and they-pelt like sparks*

ΣΩΣΙΑΣ μὴ φροντίσῃς· ἐὰν ἐγὼ λίθους ἔχω,
*not worry if I stones have*
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.
*of-many jurors wasps'-nest I-will-scatter*

## II · THE WASP-JURORS

*The old jurors arrive with lamps and their boys, eager to convict Laches, and wonder why Philocleon is absent. A boy begs figs from his father and learns there may be no supper if court does not sit. Philocleon sings through a chink that he is held prisoner and prays to become smoke or a stone for counting votes.*

ΧΟΡΟΣ χώρει πρόβαιν' ἐρρωμένως. ὦ Κωμία βραδύνεις.
*go step-forward vigorously O Comias you-are-slow*
μὰ τὸν Δί' οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς κύνειος·
*by — Zeus not however before this at-least but you-were strap dog-leather*
νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.
*now and better is than-you Charinades to-walk*
ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
*O Strymodorus of-Conthyle best of-fellow-jurors*
Εὐεργίδης ἆρ' ἐστί που 'ναῦθ' ἢ Χάβης ὁ Φλυεύς;
*Euergides — is-he somewhere here or Chabes the of-Phlya*
πάρεσθ' ὦ δὴ λοιπόν γ' ἔτ' ἐστίν, ἀππαπαῖ παπαιάξ,
*is-here what indeed remaining at-least still is oh-oh ow-ow*
ἥβης ἐκείνης ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
*of-youth that when in Byzantium we-were-together*
φρουροῦντ' ἐγώ τε καὶ σύ· κᾆτα περιπατοῦντε νύκτωρ
*keeping-guard I both and you and-then walking-about by-night*
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
*of-the bread-woman unnoticed we-stole the kneading-trough*

κᾆθ' ἥψομεν τοῦ κορκόρου κατασχίσαντες αὐτόν.
*and-then we-boiled of-the pimpernel having-split it*
ἀλλ' ἐγκονῶμεν ὦνδρες, ὡς ἔσται Λάχητι νυνί·
*but let-us-hurry O-men since there-will-be for-Laches now*
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
*hive and they-say of-money to-have all him*
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
*yesterday then Cleon the guardian us bade in season*
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
*to-come having for-days anger three wicked*
ἐπ' αὐτόν, ὡς κολωμένους ὧν ἠδίκησεν. ἀλλὰ
*against him as about-to-punish for-what he-did-wrong but*
σπεύδωμεν ὦνδρες ἥλικες πρὶν ἡμέραν γενέσθαι.
*let-us-hurry O-men age-mates before day to-come*
χωρῶμεν ἅμα τε τῷ λύχνῳ πάντῃ διασκοπῶμεν,
*let-us-go at-once and with-the lamp everywhere let-us-look*
μή που λίθος τις ἐμποδὼν ἡμᾶς κακόν τι δράσῃ.
*lest anywhere stone some in-the-way us evil something does*
ΠΑΙΣ τὸν πηλὸν ὦ πάτερ πάτερ τουτονὶ φύλαξαι.
*the mud O father father this-here beware*
ΧΟΡΟΣ κάρφος χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόμυξον.
*twig from-the-ground now having-taken the lamp trim*
ΠΑΙΣ οὔκ, ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προβύσειν.
*no but with-this-here to-me I-think the lamp to-push-up*
ΧΟΡΟΣ τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς,
*what indeed having-learned with-the finger the wick do-you-push*
καὶ ταῦτα τοὐλαίου σπανίζοντος ὦνόητε;
*and this the-oil being-scarce O-senseless*
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.
*not for it-bites you when one-must dear to-buy*

ΠΑΙΣ εἰ νὴ Δί᾽ αὖθις κονδύλοις νουθετήσεθ᾽ ἡμᾶς,
*if by Zeus again with-knuckles you-will-admonish us*
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ᾽ αὐτοί·
*having-put-out the lamps we-will-go-away home ourselves*
κἄπειτ᾽ ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς
*and-then perhaps in the darkness this-here deprived*
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
*the mud like francolin you-will-stir walking*
ΧΟΡΟΣ ἦ μὴν ἐγὼ σοῦ χἀτέρους μείζονας κολάζω.
*truly indeed I than-you and-others bigger punish*
ἀλλ᾽ οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι·
*but this-here to-me mud appears treading*
κοὐκ ἔσθ᾽ ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
*and-not it-is how not for-days four the most*
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
*water necessarily it-is the god to-make*
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
*are-on at-least the lamps these-here mushrooms*
φιλεῖ δ᾽, ὅταν τοῦτ᾽ ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
*is-wont and when this is to-make rain most*
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή ᾽στι πρῷα
*it-needs and also of-the fruits whatever not are early*
ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
*water to-come and-to-blow-upon north-wind on-them*
τί χρῆμ᾽ ἄρ᾽ οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
*what thing then the-from the house this fellow-juror*
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
*has-suffered since not he-appears here to the crowd*
οὐ μὴν πρὸ τοῦ γ᾽ ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
*not truly before this at-least laggard he-was but first of-us*

ἡγεῖτ᾽ ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
*he-used-to-lead — singing Phrynichus and for is the-man*
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ᾽ ὦνδρες
*song-lover but to-me it-seems standing here O-men*
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
*singing him to-call-out if at-all somehow hearing*
τοὐμοῦ μέλους ὑφ᾽ ἡδονῆς ἑρπύσῃ θύραζε.
*of-the-my song from pleasure he-may-creep out-of-doors*
τί ποτ᾽ οὐ πρὸ θυρῶν φαίνετ᾽ ἄρ᾽
*why ever not before doors appears then*
ἡμῖν ὁ γέρων οὐδ᾽ ὑπακούει;
*to-us the old-man nor answers*
μῶν ἀπολώλεκε τὰς
*surely-not has-he-lost the*
ἐμβάδας, ἢ προσέκοψ᾽ ἐν
*shoes or stubbed in*
τῷ σκότῳ τὸν δάκτυλόν που,
*the darkness the toe somewhere*
εἶτ᾽ ἐφλέγμηνεν αὐτοῦ
*then is-inflamed of-him*
τὸ σφυρὸν γέροντος ὄντος;
*the ankle old being*
καὶ τάχ᾽ ἂν βουβωνιάῃ.
*and perhaps — he-may-have-a-swollen-groin*
ἦ μὴν πολὺ δριμύτατός γ᾽ ἦν τῶν παρ᾽ ἡμῖν,
*truly indeed much sharpest at-least he-was of-those among us*
καὶ μόνος οὐκ ἂν ἐπείθετ᾽,
*and alone not — he-would-be-persuaded*
ἀλλ᾽ ὁπότ᾽ ἀντιβολοίη
*but whenever begged*

τις, κάτω κύπτων ἂν οὕτω
*someone down looking — so*
"λίθον ἕψεις," ἔλεγεν.
*stone you-boil he-said*
τάχα δ' ἂν διὰ τὸν χθιζινὸν ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
*perhaps and — because-of the yesterday's man who us slipped-through*
ἐξαπατῶν καὶ λέγων
*deceiving and saying*
ὡς φιλαθήναιος ἦν καὶ
*that Athens-loving he-was and*
τἀν Σάμῳ πρῶτος κατείποι,
*the-in Samos first he-told*
διὰ τοῦτ' ὀδυνηθεὶς
*because-of this pained*
εἶτ' ἴσως κεῖται πυρέττων.
*then perhaps he-lies feverish*
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
*he-is for such the-man*
ἀλλ' ὦγάθ' ἀνίστασο μηδ' οὕτω σεαυτὸν
*but good-sir get-up nor so yourself*
ἔσθιε μηδ' ἀγανάκτει.
*eat nor be-vexed*
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει
*and for man fat comes*
τῶν προδόντων τἀπὶ Θρᾴκης·
*of-those betraying the-in Thrace*
ὃν ὅπως ἐγχυτριεῖς.
*whom see-that you-will-pot*
ὕπαγ' ὦ παῖ ὕπαγε.
*lead-on O boy lead-on*

ΠΑΙΣ ἐθελήσεις τί μοι οὖν ὦ
*will-you-be-willing something to-me then O*
πάτερ, ἤν σού τι δεηθῶ;
*father if of-you something I-ask*
ΧΟΡΟΣ πάνυ γ' ὦ παιδίον. ἀλλ' εἰπέ,
*very at-least O little-boy but tell*
τί βούλει με πρίασθαι
*what you-wish me to-buy*
καλόν; οἶμαι δέ σ' ἐρεῖν ἀστραγάλους
*fine I-think and you to-say knucklebones*
δήπουθεν ὦ παῖ.
*surely O boy*
ΠΑΙΣ μὰ Δί' ἀλλ' ἰσχάδας ὦ παππία·
*by Zeus but dried-figs O daddy*
ἥδιον γάρ. ΧΟΡΟΣ οὐκ ἂν
*sweeter for not —*
μὰ Δί', εἰ κρέμαισθέ γ' ὑμεῖς.
*by Zeus if you-hang at-least you*
ΠΑΙΣ μὰ Δί' οὔ τἄρα προπέμψω σε τὸ λοιπόν.
*by Zeus not then I-will-escort you the in-future*
ΧΟΡΟΣ ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου
*from for this me the little-pay*
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ καὶ ξύλα κὤψον·
*third myself to-have barley one-must and wood and-relish*
ἒ ἔ. σὺ δὲ σῦκά μ' αἰτεῖς.
*eh eh you and figs me ask*
ΠΑΙΣ ἄγε νυν ὦ πάτερ ἢν μὴ
*come now O father if not*
τὸ δικαστήριον ἅρχων
*the court the-archon*

καθίσῃ νῦν, πόθεν ὠνησόμεθ' 305
*seats now whence shall-we-buy*
ἄριστον; ἔχεις ἐλπίδα
*breakfast have-you hope*
χρηστήν τινα νῷν ἢ
*good some for-us-two or*
πόρον Ἕλλας ἱρὸν εὑρεῖν;
*way of-Helle holy to-find*
ΧΟΡΟΣ ἀπαπαῖ φεῦ, ἀπαπαῖ φεῦ,
*oh-oh alas oh-oh alas*
μὰ Δί' οὐκ ἔγωγε νῷν οἶδ' 310
*by Zeus not I-at-least for-us-two know*
ὁπόθεν γε δεῖπνον ἔσται.
*whence at-least dinner will-be*
ΠΑΙΣ τί με δῆτ' ὦ μελέα μῆτερ ἔτικτες;
*why me then O wretched mother did-you-bear*
ΧΟΡΟΣ ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.
*so-that to-me troubles to-feed you-might-provide*
ΠΑΙΣ ἀνόνητον ἄρ' ὦ θυλάκιόν σ' εἶχον ἄγαλμα.
*useless then O little-bag you I-had ornament*
ἒ ἔ. πάρα νῷν στενάζειν. 315
*eh eh is-possible for-us-two to-groan*
ΦΙΛΟΚΛΕΩΝ φίλοι, τήκομαι μὲν
*friends I-melt indeed*
πάλαι διὰ τῆς ὀπῆς
*long-since through the hole*
ὑμῶν ὑπακούων.
*you listening*
ἀλλὰ γὰρ οὐχ οἷός τ' εἴμ'
*but for not able — am*

ᾄδειν. τί ποιήσω;
*to-sing what shall-I-do*

τηροῦμαι δ' ὑπὸ τῶνδ', ἐπεὶ
*I-am-guarded and by these since*

βούλομαί γε πάλαι μεθ' ὑμῶν
*I-wish at-least long-since with you*

ἐλθὼν ἐπὶ τοὺς καδίσκους
*going to the urns*

κακόν τι ποιῆσαι.
*evil something to-do*

ἀλλ' ὦ Ζεῦ Ζεῦ μέγα βροντήσας
*but O Zeus Zeus loud thundering*

ἤ με ποίησον καπνὸν ἐξαίφνης
*either me make smoke suddenly*

ἢ Προξενίδην ἢ τὸν Σέλλου
*or Proxenides or the of-Sellus*

τοῦτον τὸν ψευδαμάμαξυν.
*this the false-vine*

τόλμησον ἄναξ χαρίσασθαί μοι,
*dare lord to-grant to-me*

πάθος οἰκτίρας· ἤ με κεραυνῷ
*suffering having-pitied or me with-thunderbolt*

διατινθαλέῳ σπόδισον ταχέως,
*smoldering reduce-to-ash quickly*

κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
*and-then picking-up me blowing-off*

εἰς ὀξάλμην ἔμβαλε θερμήν·
*into vinegar-brine throw hot*

ἢ δῆτα λίθον με ποίησον ἐφ' οὗ
*or then stone me make on which*
τὰς χοιρίνας ἀριθμοῦσι.
*the ballot-shells they-count*

## III · THE ESCAPE BY ROPE

*Philocleon tells the jurors his son forbids him to judge. He gnaws through the net and, at their urging, lets himself down from the window by a rope, praying to the hero Lycus. Bdelycleon wakes the slave and has him beat the old man back with boughs, and Philocleon calls on his fellow jurors for help.*

ΧΟΡΟΣ τίς γάρ ἐσθ' ὁ ταῦτά σ' εἴργων
*who for is the these you shutting-in*
κἀποκλῄων τῇ θύρᾳ; λέξον·
*and-locking-up with-the door tell*
πρὸς εὔνους γὰρ φράσεις.
*to well-disposed for you-will-tell*

ΦΙΛΟΚΛΕΩΝ οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
*the-my son but not shout and for he-happens*
οὑτοσὶ πρόσθεν καθεύδων. ἀλλ' ὕφεσθε τοῦ τόνου.
*this-here in-front sleeping but lower the pitch*

ΧΟΡΟΣ τοῦ δ' ἕφεξιν ὦ μάταιε ταῦτα δρᾶν σε βούλεται;
*of-what and for-the-sake O fool these to-do you he-wishes*
καὶ τίνα πρόφασιν ἔχων;
*and what pretext having*

ΦΙΛΟΚΛΕΩΝ οὐκ ἐᾷ μ' ὦνδρες δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν,
*not lets me O-men to-judge nor to-do any evil*
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ'· ἐγὼ δ' οὐ βούλομαι.
*but me to-feast ready is I and not wish*

ΧΟΡΟΣ τοῦτ᾽ ἐτόλμησ᾽ ὁ μιαρὸς χανεῖν
*this dared the foul to-gape*
ὁ Δημολογοκλέων ὅδ᾽,
*— Demologocleon this*
ὅτι λέγεις σύ τι περὶ τῶν νεῶν
*that say you something about the ships*
ἀληθές. οὐ γὰρ ἄν ποθ᾽
*true not for — ever*
οὗτος ἀνὴρ τοῦτ᾽ ἐτόλμησεν
*this the-man this dared*
λέγειν, εἰ
*to-say if*
μὴ ξυνωμότης τις ἦν.
*not conspirator some he-were*
ἀλλ᾽ ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν,
*but from these time some for-you to-seek new device*
ἥτις σε λάθρᾳ τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.
*which you secretly of-the-man this-here to-come-down here will-make*
ΦΙΛΟΚΛΕΩΝ τίς ἂν οὖν εἴη; ζητεῖθ᾽ ὑμεῖς,
*what — then could-it-be seek you*
ὡς πᾶν ἂν ἔγωγε ποιοίην·
*since anything — I-at-least would-do*
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.
*so I-long through the planks with ballot-shell to-go-around*
ΧΟΡΟΣ ἔστιν ὀπὴ δῆθ᾽ ἥντιν᾽ ἂν ἔνδοθεν
*is-there hole then which — from-inside*
οἷός τ᾽ εἴης διορύξαι,
*able — you-might-be to-dig-through*
εἶτ᾽ ἐκδῦναι ῥάκεσιν κρυφθεὶς ὥσπερ πολύμητις Ὀδυσσεύς;
*then to-slip-out in-rags hidden like resourceful Odysseus*

ΦΙΛΟΚΛΕΩΝ πάντα πέφαρκται κοὐκ ἔστιν ὀπῆς
*all is-fenced and-not is-there of-hole*
οὐδ' εἰ σέρφῳ διαδῦναι.
*not-even if for-gnat to-slip-through*
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς·
*but other something must to-seek you*
ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.
*fig-cheese and not it-is-possible to-become*
ΧΟΡΟΣ μέμνησαι δῆθ', ὅτ' ἐπὶ στρατιᾶς
*do-you-remember then when on campaign*
κλέψας ποτὲ τοὺς ὀβελίσκους
*having-stolen once the spits*
ἴεις σαυτὸν κατὰ τοῦ τείχους ταχέως, ὅτε Νάξος ἑάλω. 355
*you-let yourself down the wall quickly when Naxos was-taken*
ΦΙΛΟΚΛΕΩΝ οἶδ'· ἀλλὰ τί τοῦτ';
*I-know but what this*
οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ προσόμοιον.
*nothing for this is to-that like*
ἤβων γὰρ κἀδυνάμην κλέπτειν, ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ,
*I-was-young for and-was-able to-steal I-was-strong and myself than-myself*
κοὐδείς μ' ἐφύλατ', ἀλλ' ἐξῆν μοι
*and-nobody me guarded but it-was-possible for-me*
φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
*to-flee fearlessly now and with arms*
ἄνδρες ὁπλῖται διαταξάμενοι 360
*men hoplites drawn-up*
κατὰ τὰς διόδους σκοπιωροῦνται,
*along the passages keep-watch*
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
*the and two of-them at the doors*

ὥσπερ με γαλῆν κρέα κλέψασαν
*like me weasel meat having-stolen*
τηροῦσιν ἔχοντ' ὀβελίσκους.
*watch having spits*
ΧΟΡΟΣ ἀλλὰ καὶ νῦν ἐκπόριζε
*but also now contrive*
μηχανὴν ὅπως τάχισθ'· ἕως
*device as quickly-as-possible dawn*
γάρ, ὦ μελίττιον.
*for O little-bee*
ΦΙΛΟΚΛΕΩΝ διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον.
*to-gnaw-through well-then best is for-me the net*
ἡ δέ μοι Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.
*the and to-me Dictynna pardon may-have for-the net*
ΧΟΡΟΣ ταῦτα μὲν πρὸς ἀνδρός ἐστ' ἄνοντος ἐς σωτηρίαν.
*these indeed of man are hastening to safety*
ἀλλ' ἔπαγε τὴν γνάθον.
*but bring-on the jaw*
ΦΙΛΟΚΛΕΩΝ διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς,
*is-gnawed-through this at-least but not shout by-no-means*
ἀλλὰ τηρώμεσθ' ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.
*but let-us-watch see-that not Bdelycleon will-perceive*
ΧΟΡΟΣ μηδὲν ὦ τᾶν δέδιθι, μηδέν·
*nothing O my-friend fear nothing*
ὡς ἐγὼ τοῦτόν γ', ἐὰν γρύξῃ
*since I this-one at-least if he-mutters*
τι, ποιήσω δακεῖν τὴν
*something will-make to-bite the*
καρδίαν καὶ τὸν περὶ ψυχῆς
*heart and the for life*

δρόμον δραμεῖν, ἵν' εἰδῇ
*race to-run so-that he-may-know*
μὴ πατεῖν τὰ
*not to-trample the*
τοῖν θεοῖν ψηφίσματα.
*of-the two-goddesses decrees*
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλῴδιον εἶτα καθίμα
*but having-fastened through the window the cord then let-down*
δήσας σαυτὸν καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους. 380
*having-bound yourself and the soul having-filled-with Diopeithes*

ΦΙΛΟΚΛΕΩΝ ἄγε νυν, ἢν αἰσθομένω τούτω
*come now if having-perceived these-two*
ζητῆτόν μ' ἐσκαλαμᾶσθαι
*seek me to-fish-up*
κἀνασπαστὸν ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.
*and-hauled-up to-make inside what will-you-do tell now*

ΧΟΡΟΣ ἀμυνοῦμέν σοι τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες
*we-will-defend you the holm-oak-like temper all having-summoned*
ὥστ' οὐ δυνατόν σ' εἴργειν ἔσται· τοιαῦτα ποιήσομεν ἡμεῖς.
*so-that not possible you to-shut-in it-will-be such we-will-do we*

ΦΙΛΟΚΛΕΩΝ δράσω τοίνυν ὑμῖν πίσυνος, 385
*I-will-do well-then you trusting*
καὶ — μανθάνετ'; — ἤν τι πάθω 'γώ,
*and understand if anything I-suffer I*
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ'
*taking-up and having-mourned to-put me*
ὑπὸ τοῖσι δρυφάκτοις.
*under the railings*

ΧΟΡΟΣ οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ᾽ ὦ βέλτιστε καθίει
*nothing will-you-suffer nothing fear but O best let-down*
σαυτὸν θαρρῶν κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.
*yourself boldly and-having-prayed to-the ancestral gods*
ΦΙΛΟΚΛΕΩΝ ὦ Λύκε δέσποτα, γείτων ἥρως·
*O Lycus lord neighbor hero*
σὺ γὰρ οἷσπερ ἐγὼ κεχάρησαι,
*you for in-what-indeed I are-pleased*
390 τοῖς δακρύοισιν τῶν φευγόντων ἀεὶ καὶ τοῖς ὀλοφυρμοῖς·
*with-the tears of-the defendants always and with-the lamentations*
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ᾽ ἵνα ταῦτ᾽ ἀκροῷο,
*you-dwelt at-least on-purpose going there so-that these you-might-hear*
κἀβουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι.
*and-you-wished alone of-heroes beside the weeping to-sit*
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον·
*pity and save now the your-own near-neighbor*
κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω μηδ᾽ ἀποπάρδω.
*and-not not ever of-you by the reeds will-I-piss nor fart*
395 ΒΔΕΛΥΚΛΕΩΝ οὗτος ἐγείρου. ΞΑΝΘΙΑΣ τί τὸ πρᾶγμ᾽;
*you wake-up what the matter*
ΒΔΕΛΥΚΛΕΩΝ ὥσπερ φωνή μέ τις ἐγκεκύκλωται.
*as-if voice me some has-encircled*
ΞΑΝΘΙΑΣ μῶν ὁ γέρων πῃ διαδύεται αὖ;
*surely-not the old-man somehow slips-out again*
ΒΔΕΛΥΚΛΕΩΝ μὰ Δί᾽ οὐ δῆτ᾽, ἀλλὰ καθιμᾷ
*by Zeus not then but lets-himself-down*
αὑτὸν δήσας. ΞΑΝΘΙΑΣ ὦ μιαρώτατε τί
*himself having-bound O foulest what*
ποιεῖς; οὐ μὴ καταβήσει;
*are-you-doing not not will-you-come-down*

ΒΔΕΛΥΚΛΕΩΝ ἀνάβαιν᾽ ἀνύσας κατὰ τὴν ἑτέραν
*climb-up quickly by the other*
καὶ ταῖσιν φυλλάσι παῖε,
*and with-the leaves strike*
ἤν πως πρύμνην ἀνακρούσηται πληγεὶς ταῖς εἰρεσιώναις.
*if somehow stern he-backs-water struck with-the harvest-wreaths*
ΦΙΛΟΚΛΕΩΝ οὐ ξυλλήψεσθ᾽ ὁπόσοισι δίκαι
*not will-you-help as-many-as suits*
τῆτες μέλλουσιν ἔσεσθαι,
*this-year are-about to-be*
ὦ Σμικυθίων καὶ Τεισιάδη καὶ Χρήμων καὶ Φερέδειπνε;
*O Smicythion and Teisiades and Chremon and Pheredeipnus*
πότε δ᾽, εἰ μὴ νῦν, ἐπαρήξετέ μοι,
*when and if not now will-you-help me*
πρίν μ᾽ εἴσω μᾶλλον ἄγεσθαι;
*before me inside more to-be-led*

## IV · WASPS AGAINST SMOKE

*The jurors bare their stings, send the boys to fetch Cleon, and charge Bdelycleon with tyranny. The slaves drive them off with sticks and smoke. Bdelycleon complains that every request is now called tyranny, as the fishmonger and the whore call it, and offers to show his father that he is a slave; Philocleon agrees to argue the case before the chorus.*

ΧΟΡΟΣ εἰπέ μοι τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν,
*tell me why do-we-delay to-stir that the bile*
ἥνπερ, ἡνίκ᾽ ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν;
*which-indeed whenever — someone of-us angers the wasps'-nest*
νῦν ἐκεῖνο νῦν ἐκεῖνο
*now that now that*

τοὐξύθυμον, ᾧ κολαζόμεσθα,
*the-sharp-tempered with-which we-punish*
κέντρον †ἐντέτατ' ὀξύ†.
*sting is-stretched sharp*
ἀλλὰ θαἰμάτια βαλόντες ὡς τάχιστα, παιδία,
*but the-cloaks throwing-off as quickly-as-possible boys*
θεῖτε καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
*run and shout and to-Cleon these report*
καὶ κελεύετ' αὐτὸν ἥκειν
*and bid him to-come*
ὡς ἐπ' ἄνδρα μισόπολιν
*as against man city-hating*
ὄντα κἀπολούμενον, ὅτι
*being and-about-to-perish because*
τόνδε λόγον ἐσφέρει,
*this speech he-introduces*
μὴ δικάζειν δίκας.
*not to-judge suits*

ΒΔΕΛΥΚΛΕΩΝ ὦγαθοὶ τὸ πρᾶγμ' ἀκούσατ', ἀλλὰ μὴ κεκράγετε.
*good-sirs the matter hear but not shout*

ΧΟΡΟΣ νὴ Δί' ἐς τὸν οὐρανόν γ'.
*by Zeus to the sky at-least*

ΒΔΕΛΥΚΛΕΩΝ ὡς τοῦδ' ἐγὼ οὐ μεθήσομαι.
*since of-this I not will-let-go*

ΧΟΡΟΣ ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφανής;
*these then not terrible and tyranny is manifest*
ὦ πόλις καὶ Θεώρου θεοισεχθρία,
*O city and of-Theorus god-hatedness*
κεἴ τις ἄλλος προέστηκεν ἡμῶν κόλαξ.
*and-if any other has-stood-forth our flatterer*

ΞΑΝΘΙΑΣ Ἡράκλεις καὶ κέντρ᾽ ἔχουσιν. οὐχ ὁρᾷς ὦ δέσποτα;
*Heracles and stings they-have not do-you-see O master*

ΒΔΕΛΥΚΛΕΩΝ οἷς γ᾽ ἀπώλεσαν
*with-which at-least they-destroyed*
Φίλιππον ἐν δίκῃ τὸν Γοργίου.
*Philippus in suit the of-Gorgias*

ΧΟΡΟΣ καὶ σέ γ᾽ αὐτοῖς ἐξολοῦμεν· ἀλλὰ πᾶς ἐπίστρεφε
*and you at-least with-them we-will-destroy but everyone wheel*
δεῦρο κἀξείρας τὸ κέντρον εἶτ᾽ ἐπ᾽ αὐτὸν ἴεσο,
*here and-thrusting-out the sting then at him rush*
ξυσταλεὶς εὔτακτος ὀργῆς καὶ μένους ἐμπλήμενος,
*packed-together orderly with-anger and with-fury filled*
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν σμῆνος οἷον ὤργισεν.
*so-that — well he-may-know the in-future swarm what-sort he-angered*

ΞΑΝΘΙΑΣ τοῦτο μέντοι δεινὸν ἤδη νὴ Δί᾽, εἰ μαχούμεθα·
*this however terrible already by Zeus if we-are-to-fight*
ὡς ἔγωγ᾽ αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
*since I-at-least them seeing fear the stingers*

ΧΟΡΟΣ ἀλλ᾽ ἀφίει τὸν ἄνδρ᾽· εἰ δὲ μή, φήμ᾽ ἐγὼ
*but let-go the man if and not say I*
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.
*the tortoises to-call-blessed you for-the shell*

ΦΙΛΟΚΛΕΩΝ εἶά νυν ὦ ξυνδικασταὶ σφῆκες ὀξυκάρδιοι,
*heave now O fellow-jurors wasps sharp-hearted*
οἱ μὲν ἐς τὸν πρωκτὸν αὐτῶν ἐσπέτεσθ᾽ ὠργισμένοι,
*the indeed into the ass of-them fly angered*
οἱ δὲ τὠφθαλμὼ κύκλῳ κεντεῖτε καὶ τοὺς δακτύλους.
*the and the-two-eyes in-circle sting and the fingers*

ΒΔΕΛΥΚΛΕΩΝ ὦ Μίδα καὶ Φρὺξ βοήθει δεῦρο καὶ Μασιντύα,
*O Midas and Phryx help here and Masintyas*
καὶ λάβεσθε τουτουὶ καὶ μὴ μεθῆσθε μηδενί·
*and take-hold of-this-here and not let-go to-anyone*
εἰ δὲ μή, ᾽ν πέδαις παχείαις οὐδὲν ἀριστήσετε.
*if and not in fetters thick nothing you-will-lunch*
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
*since I of-many having-heard know of-fig-leaves the rustle*
ΧΟΡΟΣ εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἔν τί σοι παγήσεται.
*if and not this-one you-let-go in something you will-stick*
ΦΙΛΟΚΛΕΩΝ ὦ Κέκροψ ἥρως ἄναξ τὰ πρὸς ποδῶν Δρακοντίδη,
*O Cecrops hero lord the at feet Dracontid*
περιορᾷς οὕτω μ᾽ ὑπ᾽ ἀνδρῶν βαρβάρων χειρούμενον,
*do-you-overlook so me by men barbarian overpowered*
οὓς ἐγὼ ᾽δίδαξα κλάειν τέτταρ᾽ ἐς τὴν χοίνικα;
*whom I taught to-weep four to the quart*
ΧΟΡΟΣ εἶτα δῆτ᾽ οὐ πόλλ᾽ ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
*then then not many-things are-in terrible in-the old-age evils*
δηλαδή· καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
*clearly and now at-least these-two the old master*
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
*by force overpower nothing of-the long-ago remembering*
διφθερῶν κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα,
*of-leather-jerkins and-tunics which this for-them bought*
καὶ κυνᾶς· καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,
*and dog-skin-caps and the feet winter being he-helped*
ὥστε μὴ ῥιγῶν ἑκάστοτ᾽· ἀλλὰ τούτοις γ᾽ οὐκ ἔνι
*so-that not to-shiver each-time but in-these at-least not is-in*
οὐδ᾽ ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
*not-even in eyes shame of-the old shoes*

ΦΙΛΟΚΛΕΩΝ οὐκ ἀφήσεις οὐδὲ νυνί μ' ὦ κάκιστον θηρίον,
*not will-you-let-go not-even now me O worst beast*
οὐδ' ἀναμνησθεὶς ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε
*nor having-remembered when finding the grapes stealing you*
προσαγαγὼν πρὸς τὴν ἐλάαν ἐξέδειρ' εὖ κἀνδρικῶς,
*having-led to the olive-tree I-flayed well and-manfully*
ὥστε σε ζηλωτὸν εἶναι; σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
*so-that you enviable to-be you and ungrateful were then*
ἀλλ' ἄνες με καὶ σὺ καὶ σύ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.
*but let-go me both you and you before the son to-run-out*
ΧΟΡΟΣ ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
*but of-these indeed soon to-us you-two-will-pay fine penalty*
οὐκέτ' ἐς μακρὰν ἵν' εἰδῆθ' οἷός ἐστ' ἀνδρῶν τρόπος
*no-longer at long so-that you-may-know what-sort is of-men way*
ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.
*sharp-tempered and just and looking cress*
ΒΔΕΛΥΚΛΕΩΝ παῖε παῖ' ὦ Ξανθία τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.
*strike strike O Xanthias the wasps from the house*
ΞΑΝΘΙΑΣ ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
*but I-do this but also you smoke with-much the smoke*
ΣΩΣΙΑΣ οὐχὶ σοῦσθ'; οὐκ ἐς κόρακας;
*not shoo not to crows*
οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ.
*not go-away strike with-the stick*
ΞΑΝΘΙΑΣ καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελλαρτίου.
*and you adding Aeschines smoke-out the of-Sellartius*
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.
*— were-we-going ever you to-shoo-away in-the time*

ΒΔΕΛΥΚΛΕΩΝ ἀλλὰ μὰ Δί᾽ οὐ ῥᾳδίως οὕτως ἂν
*but by Zeus not easily so —*
αὐτοὺς διέφυγες,
*them you-would-have-escaped*
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.
*if-indeed they-happened of-the songs the of-Philocles having-eaten*
ΧΟΡΟΣ ἆρα δῆτ᾽ οὐκ αὐτὰ δῆλα
*— then not they plain*
τοῖς πένησιν, ἡ τυραννὶς
*to-the poor the tyranny*
†ὡς λάθρᾳ γ᾽ ἐλάνθαν᾽ ὑπιοῦσά με,†
*how secretly at-least it-crept-unnoticed sneaking-up me*
εἰ σύ γ᾽ ὦ πόνῳ πόνηρε καὶ κομηταμυνία
*if you at-least O in-toil wicked and long-haired-Amynias*
τῶν νόμων ἡμᾶς ἀπείργεις ὧν ἔθηκεν ἡ πόλις,
*from-the laws us you-shut-out which set the city*
οὔτε τιν᾽ ἔχων πρόφασιν
*neither any having excuse*
οὔτε λόγον εὐτράπελον,
*nor speech dexterous*
αὐτὸς ἄρχων μόνος;
*yourself ruling alone*
ΒΔΕΛΥΚΛΕΩΝ ἔσθ᾽ ὅπως ἄνευ μάχης καὶ τῆς κατοξείας βοῆς
*is-it how without battle and the shrill shouting*
ἐς λόγους ἔλθοιμεν ἀλλήλοισι καὶ διαλλαγάς;
*into words we-might-come with-one-another and reconciliations*
ΧΟΡΟΣ σοὺς λόγους ὦ μισόδημε καὶ μοναρχίας ἐραστά,
*your words O people-hater and of-monarchy lover*
καὶ ξυνὼν Βρασίδᾳ καὶ φορῶν κράσπεδα
*and consorting with-Brasidas and wearing fringes*

στεμμάτων τήν θ' ὑπήνην ἄκουρον τρέφων;
*of-wool-tufts the and beard unshorn rearing*

ΒΔΕΛΥΚΛΕΩΝ νὴ Δί' ἦ μοι κρεῖττον
*by Zeus truly for-me better*

ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς
*to-renounce the altogether of-the father*

μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι.
*rather than with-evils so-many to-fight-at-sea daily*

ΧΟΡΟΣ οὐδὲ μὴν οὐδ' ἐν σελίνῳ σοὐστὶν οὐδ' ἐν πηγάνῳ· 480
*nor truly not-even in celery to-you-are nor in rue*

τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
*this for we-will-throw-in of-the three-quart words*

ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς, ἀλλ' ὅταν ξυνήγορος
*but now indeed nothing you-ache but when advocate*

ταὐτὰ ταῦτα σου καταντλῇ καὶ ξυνωμότας καλῇ.
*these same of-you pours-over and conspirators calls*

ΒΔΕΛΥΚΛΕΩΝ ἆρ' ἂν ὦ πρὸς τῶν θεῶν ὑμεῖς ἀπαλλαχθεῖτέ μου;
*— — O by the gods you might-get-rid of-me*

ἢ δέδοκταί μοι δέρεσθαι καὶ δέρειν δι' ἡμέρας; 485
*or has-it-been-decided to-me to-be-flayed and to-flay through the-day*

ΧΟΡΟΣ οὐδέποτέ γ', οὐχ ἕως ἄν τί μου λοιπὸν ᾖ,
*never at-least not while — anything of-me left is*

ὅστις ἡμῶν ἐπὶ τυραννίδ' ὧδ' ἐστάλης.
*who of-us for tyranny so set-out*

ΒΔΕΛΥΚΛΕΩΝ ὡς ἅπανθ' ὑμῖν τυραννίς ἐστι καὶ ξυνωμόται,
*how all to-you tyranny is and conspirators*

ἤν τε μεῖζον ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ,
*if both greater if and smaller matter anyone accuses*

ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν· 490
*of-which I not heard the-name not-even for-fifty years*

νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα,
*now and by-much than-the salt-fish is more-valued*
ὥστε καὶ δὴ τοὔνομ᾽ αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
*so-that also indeed the-name of-it in market rolls-about*
ἢν μὲν ὠνῆταί τις ὀρφὼς μεμβράδας δὲ μὴ ᾽θέλῃ,
*if indeed buys anyone perch sprats and not wants*
εὐθέως εἴρηχ᾽ ὁ πωλῶν πλησίον τὰς μεμβράδας·
*at-once has-said the selling near the sprats*
495 "οὗτος ὀψωνεῖν ἔοιχ᾽ ἄνθρωπος ἐπὶ τυραννίδι."
*"this to-buy-fish seems the-man for tyranny"*
ἢν δὲ γήτειον προσαιτῇ ταῖς ἀφύαις ἥδυσμά τι,
*if and leek he-asks-besides for-the anchovies relish some*
ἡ λαχανόπωλις παραβλέψασά φησι θατέρῳ·
*the vegetable-woman eyeing says with-the-other*
"εἰπέ μοι, γήτειον αἰτεῖς· πότερον ἐπὶ τυραννίδι,
*"tell me leek you-ask whether for tyranny*
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα;"
*or do-you-think — Athens to-you to-bring relishes"*
500 ΞΑΝΘΙΑΣ κἀμέ γ᾽ ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας,
*and-me at-least the whore yesterday going-in at-the noon*
ὅτι κελητίσαι ᾽κέλευον, ὀξυθυμηθεῖσά μοι
*because to-ride-me I-bade getting-sharp-tempered at-me*
ἤρετ᾽ εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.
*asked if the of-Hippias I-am-setting-up tyranny*
ΒΔΕΛΥΚΛΕΩΝ ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέ᾽, εἰ καὶ νῦν ἐγὼ
*these for these to-hear sweet-things if also now I*
τὸν πατέρ᾽ ὅτι βούλομαι τούτων ἀπαλλαχθέντα τῶν
*the father because I-wish of-these released the*
505 ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων
*dawn-roaming-informing-litigating-toiling ways*

ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
*to-live life noble like Morychus charge I-have*
ταῦτα δρᾶν ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά.
*these to-do conspirator being and thinking tyrannical*
ΦΙΛΟΚΛΕΩΝ νὴ Δί᾽ ἐν δίκῃ γ᾽· ἐγὼ γὰρ οὐδ᾽ ἂν ὀρνίθων γάλα
*by Zeus in justice at-least I for not-even — of-birds milk*
ἀντὶ τοῦ βίου λάβοιμ᾽ ἄν οὗ με νῦν ἀποστερεῖς·
*instead-of the life would-take — of-which me now you-deprive*
οὐδὲ χαίρω βατίσιν οὐδ᾽ ἐγχέλεσιν, ἀλλ᾽ ἥδιον ἄν
*nor delight-in skates nor eels but more-sweetly —*
δικίδιον σμικρὸν φάγοιμ᾽ ἂν ἐν λοπάδι πεπνιγμένον.
*little-suit small I-would-eat — in dish stewed*
ΒΔΕΛΥΚΛΕΩΝ νὴ Δί᾽ εἰθίσθης γὰρ
*by Zeus you-were-accustomed for*
ἥδεσθαι τοιούτοις πράγμασιν·
*to-be-pleased with-such affairs*
ἀλλ᾽ ἐὰν σιγῶν ἀνάσχῃ καὶ μάθῃς ἀγὼ λέγω,
*but if keeping-silent you-bear-it and learn what-I say*
ἀναδιδάξειν οἴομαί σ᾽ ὡς πάντα ταῦθ᾽ ἁμαρτάνεις.
*to-teach I-think you how all these you-err*
ΦΙΛΟΚΛΕΩΝ ἐξαμαρτάνω δικάζων;
*I-err judging*
ΒΔΕΛΥΚΛΕΩΝ καταγελώμενος μὲν οὖν
*being-mocked indeed rather*
οὐκ ἐπαΐεις ὑπ᾽ ἀνδρῶν, οὓς σὺ μόνον οὐ προσκυνεῖς.
*not you-perceive by men whom you only not worship*

ἀλλὰ δουλεύων λέληθας. ΦΙΛΟΚΛΕΩΝ παῦε δουλείαν λέγων,
*but being-a-slave you-have-escaped-notice stop slavery saying*
ὅστις ἄρχω τῶν ἁπάντων.
*who rule of-the all*
ΒΔΕΛΥΚΛΕΩΝ οὐ σύ γ', ἀλλ' ὑπηρετεῖς
*not you at-least but you-serve*
οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς ὦ πάτερ,
*thinking to-rule since teach us O father*
ἥτις ἡ τιμή 'στί σοι καρπουμένῳ τὴν Ἑλλάδα.
*what the honor is to-you reaping-the-fruit-of — Greece*
ΦΙΛΟΚΛΕΩΝ πάνυ γε, καὶ τούτοισί γ'
*very at-least and to-these at-least*
ἐπιτρέψαι 'θέλω. ΒΔΕΛΥΚΛΕΩΝ καὶ μὴν ἐγώ.
*to-entrust I-am-willing and truly I*
ἄφετέ νυν ἅπαντες αὐτόν. ΦΙΛΟΚΛΕΩΝ καὶ ξίφος γέ μοι δότε.
*let-go now all him and sword at-least to-me give*
ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.
*if for I-am-defeated speaking by-you I-will-fall on-the sword*
ΒΔΕΛΥΚΛΕΩΝ εἰπέ μοι, τί δ' ἤν, τὸ δεῖνα,
*tell me what and if the what-d'you-call-it*
τῇ διαίτῃ μὴ 'μμένῃς;
*to-the arbitration not you-abide*
ΦΙΛΟΚΛΕΩΝ μηδέποτε πίοιμ' ἀκράτου μισθὸν ἀγαθοῦ δαίμονος.
*never may-I-drink of-unmixed pay of-good god*

*Philocleon praises a juror's power: the great fawn on him, he hears pleas, music, and jokes, he decides heiresses' fates, and he goes home to a doting daughter with his three obols. Bdelycleon reckons the empire's revenue at nearly two thousand talents, of which the jurors' pay is not even a tenth, while the demagogues take bribes from the allies; if they wished, twenty thousand men could live in plenty. Philocleon goes numb and cannot hold his sword; the chorus, won over, lays down its staffs.*

ΧΟΡΟΣ νῦν δὴ τὸν ἐκ θἠμετέρου
*now indeed the from the-our*
γυμνασίου δεῖ τι λέγειν
*school must something to-say*
καινόν, ὅπως φανήσει —
*new so-that you-will-appear*
ΒΔΕΛΥΚΛΕΩΝ ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις
*let-bring to-me here the box someone*
ὡς τάχιστα.
*as quickly-as-possible*
ἀτὰρ φανεῖ ποιός τις ὤν, ἢν ταῦτα παρακελεύῃ; 530
*but you-will-appear what-sort a-one being if this you-exhort*
ΧΟΡΟΣ μὴ κατὰ τὸν νεανίαν
*not like the youth*
τονδὶ λέγων. ὁρᾷς γὰρ ὡς
*this-here speaking you-see for how*
σοι μέγας ἐστὶν ἀγὼν
*for-you great is the-contest*
καὶ περὶ τῶν ἁπάντων,
*and about the all*
εἴπερ, ὃ μὴ γένοιθ', οὗτός 535
*if-indeed which not may-it-happen this-one*

σ' ἐθέλει κρατῆσαι.
*you wishes to-overcome*

ΒΔΕΛΥΚΛΕΩΝ καὶ μὴν ὅσ' ἂν λέξῃ γ'
*and truly as-much-as — he-says at-least*
ἁπλῶς μνημόσυνα γράψομαι 'γώ.
*simply memoranda I-will-write I*

ΦΙΛΟΚΛΕΩΝ τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;
*what for say you if this-here me in-the argument overcomes*

ΧΟΡΟΣ οὐκέτι πρεσβυτῶν ὄχλος
*no-longer of-old-men crowd*
χρήσιμος ἔστ' οὐδ' ἀκαρῆ·
*useful is not-even a-whit*
σκωπτόμενοι δ' ἐν ταῖς ὁδοῖς
*mocked and in the streets*
θαλλοφόροι καλούμεθ', ἀντωμοσιῶν
*olive-bearers we-are-called of-affidavits*
κελύφη.
*husks*
ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλογήσειν
*but O about the whole being-about kingship to-dispute*
τῆς ἡμετέρας, νυνὶ θαρρῶν πᾶσαν γλῶτταν βασάνιζε.
*the our now taking-heart every tongue test*

ΦΙΛΟΚΛΕΩΝ καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων
*and truly at-once at-least from starting-line*
περὶ τῆς ἀρχῆς ἀποδείξω
*about the rule I-will-show*
τῆς ἡμετέρας ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.
*the our that than-none weaker is kingship*
τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστὶ δικαστοῦ,
*what for happy and blessed more now is than-juror*

ἢ τρυφερώτερον ἢ δεινότερον ζῷον, καὶ ταῦτα γέροντος;
*or more-pampered or more-terrible creature and that old*

ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς
*whom first indeed creeping from bed*

τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις
*they-watch at the railings*

ἄνδρες μεγάλοι καὶ τετραπήχεις· κἄπειτ' εὐθὺς προσιόντι
*men big and four-cubit and-then at-once approaching*

ἐμβάλλει μοι τὴν χεῖρ' ἁπαλὴν τῶν δημοσίων κεκλοφυῖαν·
*throws-in to-me the hand soft of-the public-funds having-stolen*

ἱκετεύουσίν θ' ὑποκύπτοντες τὴν φωνὴν οἰκτροχοοῦντες· 555
*they-beseech and stooping the voice pitifully-pouring*

"οἴκτιρόν μ' ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώποθ' ὑφείλου
*pity me O father I-ask you if and-yourself ever you-pilfered*

ἀρχὴν ἄρξας ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων·"
*office having-held or on campaign for-the messmates buying*

ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν
*who me not-even — living would-have-known*

εἰ μὴ διὰ τὴν προτέραν ἀπόφυξιν.
*if not because-of the former acquittal*

ΒΔΕΛΥΚΛΕΩΝ τουτὶ περὶ τῶν ἀντιβολούντων
*this-here about the beggars*

ἔστω τὸ μνημόσυνόν μοι.
*let-be the memorandum to-me*

ΦΙΛΟΚΛΕΩΝ εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς 560
*then going-in having-been-begged*

καὶ τὴν ὀργὴν ἀπομορχθεὶς
*and the anger having-been-wiped-off*

ἔνδον τούτων ὧν ἂν φάσκω πάντων οὐδὲν πεποίηκα,
*inside of-these which — I-promise of-all nothing I-have-done*

ἀλλ᾽ ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφυξιν.
*but I-listen-to all voices uttering for acquittal*
φέρ᾽ ἴδω, τί γὰρ οὐκ ἔστιν
*come let-me-see what for not is*
ἀκοῦσαι θώπευμ᾽ ἐνταῦθα δικαστῇ;
*to-hear flattery there for-juror*
οἱ μέν γ᾽ ἀποκλάονται πενίαν αὑτῶν καὶ προστιθέασι
*they indeed at-least bewail poverty their and add*
κακὰ πρὸς τοῖς οὖσιν,
*evils to the existing*
†ἕως ἀνιῶν ἂν ἰσώσῃ τοῖσιν ἐμοῖσιν·†
*until grieving — he-makes-equal to-the mine*
οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ᾽ Αἰσώπου τι γέλοιον·
*they and tell fables to-us they and of-Aesop something laughable*
οἱ δὲ σκώπτουσ᾽, ἵν᾽ ἐγὼ γελάσω
*they and joke so-that I may-laugh*
καὶ τὸν θυμὸν καταθῶμαι.
*and the anger lay-down*
κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι᾽ εὐθὺς ἀνέλκει
*and-if not by-these we-are-persuaded the little-children at-once he-drags-up*
τὰς θηλείας καὶ τοὺς υἱεῖς τῆς χειρός, ἐγὼ δ᾽ ἀκροῶμαι·
*the girls and the sons by-the hand I and listen*
τὰ δὲ συγκύψανθ᾽ ἅμα βληχᾶται·
*they and huddling at-once bleat*
κἄπειθ᾽ ὁ πατὴρ ὑπὲρ αὐτῶν
*and-then the father for them*
ὥσπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθύνης ἀπολῦσαι·
*as-if god beseeches me trembling from-the audit to-release*
"εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεήσαις·"
*if indeed you-rejoice of-lamb in-voice of-boy voice may-you-pity*

εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φωνῇ με πιθέσθαι.
*if and in-turn in-the piglets I-rejoice of-daughter voice me to-obey*
χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνείμεν.
*and-we for-him then of-the anger little the peg loosened*
ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ καὶ τοῦ πλούτου καταχήνη; 575
*— not great this is rule and of-the wealth mockery*
ΒΔΕΛΥΚΛΕΩΝ δεύτερον αὖ σου τουτὶ γράφομαι,
*second in-turn of-you this-here I-write-down*
τὴν τοῦ πλούτου καταχήνην·
*the of-the wealth mockery*
καὶ τἀγαθά μοι μέμνησ' ἅχεις
*and the-goods to-me mention which-you-have*
φάσκων τῆς Ἑλλάδος ἄρχειν.
*claiming — of-Greece to-rule*
ΦΙΛΟΚΛΕΩΝ παίδων τοίνυν δοκιμαζομένων
*of-boys well-then being-examined*
αἰδοῖα πάρεστι θεᾶσθαι.
*privates is-possible to-behold*
κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν
*and-if Oeagrus comes-in being-defendant not he-is-acquitted before — to-us*
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας. 580
*from the Niobe he-says speech the finest having-picked-out*
κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα
*and-if piper at-least suit wins of-this to-us reward*
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσι.
*in mouth-band for-the jurors exit-tune he-pipes as-they-go-out*
κἂν ἀποθνῄσκων ὁ πατήρ τῳ δῷ
*and-if dying the father to-someone gives*
καταλείπων παῖδ' ἐπίκληρον,
*leaving girl heiress*

κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ
*to-weep we long the head having-bid to-the will*
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
*and to-the shell the very solemnly on-the seals lying*
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
*we-gave her to-whoever — us having-begged persuades*
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν, τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.
*and these unaccountable we-do of-the and others no office*

ΒΔΕΛΥΚΛΕΩΝ τουτὶ γάρ τοι σεμνόν, τούτων
*this-here for surely grand of-these*
ὧν εἴρηκας μακαρίζω·
*which you-have-said I-call-blessed*
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.
*of-the and heiress the will you-wrong unshelling*

ΦΙΛΟΚΛΕΩΝ ἔτι δ' ἡ βουλὴ χὠ δῆμος ὅταν
*still and the council and-the people when*
κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ
*to-judge great matter is-at-a-loss*
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
*it-has-been-voted the wrongdoers to-the jurors to-hand-over*
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος Κολακώνυμος ἀσπιδαποβλὴς
*then Euathlus and-the great this Flatterer-onymus shield-thrower*
οὐχὶ προδώσειν ἡμᾶς φασίν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
*not to-betray us they-say about the people and to-fight*
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ
*and-in the assembly motion no-one ever carried if not*
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας·
*he-says the courts to-dismiss first one-case having-judged*
αὐτὸς δὲ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει,
*himself and Cleon the shout-conquering only us not nibbles-around*

ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων καὶ τὰς μυίας ἀπαμύνει.
*but guards in hand having and the flies wards-off*
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων
*you and the father not-even anything of-these*
τὸν σαυτοῦ πώποτ' ἔδρασας.
*the your-own ever did*
ἀλλὰ Θέωρος, καίτοὐστὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
*but Theorus and-yet-is man than-Euphemius nothing lesser*
τὸν σφόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδ' ἡμῶν περικωνεῖ. 600
*the sponge having from the basin the-shoes our blacks*
σκέψαι μ' ἀπὸ τῶν ἀγαθῶν οἷων ἀποκλήεις καὶ κατερύκεις,
*see me from the goods what-sort you-shut-out and hold-back*
ἣν δουλείαν οὖσαν ἔφασκες καὶ ὑπηρεσίαν ἀποδείξειν.
*which slavery being you-said and servitude to-show*
ΒΔΕΛΥΚΛΕΩΝ ἔμπλησο λέγων· πάντως γάρ τοι
*eat-your-fill speaking in-any-case for surely*
παύσει ποτὲ κἀναφανήσει
*you-will-stop sometime and-will-appear*
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.
*ass of-bath surviving of-the rule the very-solemn*
ΦΙΛΟΚΛΕΩΝ ὃ δέ γ' ἥδιστον τούτων 605
*what and at-least sweetest of-these*
ἐστὶν πάντων, οὗ 'γὼ 'πελελήσμην,
*is of-all which I had-forgotten*
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων, κἄπειθ' ἥκονθ' ἅμα πάντες
*when home I-go the pay having and-then coming at-once all*
ἀσπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
*greet because-of the-money and first indeed the daughter me*
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φιλήσῃ
*washes and the two-feet anoints and stooping kisses*

καὶ παππίζουσ᾽ ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται,
*and calling-daddy with the tongue the three-obols fishes-out*
καὶ τὸ γύναιόν μ᾽ ὑποθωπεῦσαν φυστὴν μᾶζαν προσενέγκῃ,
*and the little-wife me coaxing puffed barley-cake brings*
κἄπειτα καθεζομένη παρ᾽ ἐμοὶ προσαναγκάζῃ, "φάγε τουτί,
*and-then sitting by me presses eat this-here*
ἔντραγε τουτί·" τούτοισιν ἐγὼ γάνυμαι,
*munch this-here in-these I rejoice*
κοὐ μή με δεήσῃ
*and-not not me it-will-be-needful*
ἐς σὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ᾽ ἄριστον παραθήσει
*to you to-look and the steward when breakfast he-will-serve*
καταρασάμενος καὶ τονθορύσας. ἀλλ᾽ ἢν μή μοι ταχὺ μάξῃ,
*having-cursed and muttered but if not for-me quickly he-kneads*
τάδε κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεωρήν.
*this I-have-acquired defense of-evils armor of-weapons shelter*
κἂν οἰνόν μοι μὴ ᾽γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ᾽ ἐσκεκόμισμαι
*and-if wine to-me not pour you to-drink the donkey this I-have-brought-in*
οἴνου μεστόν, κᾆτ᾽ ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
*of-wine full and-then I-pour-myself having-tilted this and gaping*
βρωμησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρδεν.
*having-brayed of-the your cup great and military farted*
ἆρ᾽ οὐ μεγάλην ἀρχὴν ἄρχω καὶ τοῦ Διὸς οὐδὲν ἐλάττω,
*— not great rule I-rule and — than-Zeus nothing less*
ὅστις ἀκούω ταὔθ᾽ ἅπερ ὁ Ζεύς;
*who am-spoken-of the-same-things which — Zeus*
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
*if at-least we make-uproar*
πᾶς τίς φησιν τῶν παριόντων,
*every one says of-the passers-by*

"οἷον βροντᾷ τὸ δικαστήριον,
*how thunders the court*
ὦ Ζεῦ βασιλεῦ." 625
*O Zeus king*
κἂν ἀστράψω, ποππύζουσιν
*and-if I-lighten they-smack-their-lips*
κἀγκεχόδασίν μ' οἱ πλουτοῦντες
*and-shit-themselves me the rich*
καὶ πάνυ σεμνοί.
*and very solemn*
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός·
*and you fear me most yourself*
νὴ τὴν Δήμητρα δέδοικας, ἐγὼ δ'
*by — Demeter you-fear I and*
ἀπολοίμην εἴ σε δέδοικα. 630
*may-I-perish if you I-fear*
ΧΟΡΟΣ οὐπώποθ' οὕτω καθαρῶς
*never-yet so cleanly*
οὐδενὸς ἠκούσαμεν οὐδὲ
*of-anyone we-heard nor*
ξυνετῶς λέγοντος.
*intelligently speaking*
ΦΙΛΟΚΛΕΩΝ οὔκ, ἀλλ' ἐρήμας ᾠήθ' οὕτω ῥᾳδίως τρυγήσειν.
*no but deserted he-thought so easily to-harvest*
καλῶς γὰρ ᾔδειν ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι. 635
*well for he-knew how I in-this strongest am*
ΧΟΡΟΣ ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν
*how and on everything he-has-come*
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγωγ'
*and-nothing passed so-that I-at-least*

ηὐξανόμην ἀκούων,
*grew hearing*
καὐ μακάρων δικάζειν
*and-in of-the-blessed to-judge*
640 αὐτὸς ἔδοξα νήσοις,
*myself thought islands*
ἡδόμενος λέγοντι.
*pleased him-speaking*
ΦΙΛΟΚΛΕΩΝ ὡς οὗτος ἤδη σκορδινᾶται κἄστιν οὐκ ἐν αὑτοῦ.
*how this already stretches and-is not in himself*
ΒΔΕΛΥΚΛΕΩΝ ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.
*truly indeed I you today leathers to-look will-make*
ΧΟΡΟΣ δεῖ δέ σε παντοίας πλέκειν
*must and you every-kind to-weave*
645 εἰς ἀπόφυξιν παλάμας.
*for acquittal devices*
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶναι
*the for my anger to-soften*
χαλεπὸν νεανίᾳ
*hard for-youth*
μὴ πρὸς ἐμοῦ λέγοντι.
*not on my-side speaking*
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπτον,
*to this millstone good time to-seek for-you and newly-cut*
ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.
*if not something you-say which able the my temper to-crush*

ΒΔΕΛΥΚΛΕΩΝ χαλεπὸν μὲν καὶ δεινῆς γνώμης
*hard indeed and of-terrible mind*
καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς
*and greater than for comedians*
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
*to-heal disease ancient in the city having-bred-in*
ἀτὰρ ὦ πάτερ ἡμέτερε Κρονίδη —
*but O father our son-of-Cronus*
ΦΙΛΟΚΛΕΩΝ παῦσαι καὶ μὴ πατέριζε.
*stop and not father-me*
εἰ μὴ γὰρ ὅπως δουλεύω 'γώ, τουτὶ ταχέως με διδάξεις,
*if not for how am-a-slave I this-here quickly me you-will-teach*
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξεις,
*not it-is how not you-will-die*
κἂν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.
*even-if it-be-needful from-innards me to-abstain*
ΒΔΕΛΥΚΛΕΩΝ ἀκρόασαί νυν ὦ παππίδιον
*listen now O little-daddy*
χαλάσας ὀλίγον τὸ μέτωπον·
*having-relaxed a-little the brow*
καὶ πρῶτον μὲν λόγισαι φαύλως,
*and first indeed reckon simply*
μὴ ψήφοις ἀλλ' ἀπὸ χειρός,
*not with-pebbles but on hand*
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων συλλήβδην τὸν προσιόντα·
*the tribute for-us from the cities altogether the incoming*
κἄξω τούτου τὰ τέλη χωρὶς καὶ τὰς πολλὰς ἑκατοστάς,
*and-outside this the taxes separately and the many one-percents*
πρυτανεῖα μέταλλ' ἀγορὰς λιμένας μισθοὺς καὶ δημιόπρατα.
*court-fees mines markets harbors rents and confiscations*

τούτων πλήρωμα τάλαντ᾽ ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
*of-these total talents nearly two-thousand comes for-us*
ἀπὸ τούτου νυν κατάθες μισθὸν τοῖσι δικασταῖς ἐνιαυτοῦ
*from this now set-aside pay for-the jurors of-a-year*
ἓξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθεν,
*six thousands and-not-yet more in the land have-dwelt*
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.
*comes for-us hundred surely and fifty talents*
ΦΙΛΟΚΛΕΩΝ οὐδ᾽ ἡ δεκάτη τῶν προσιόντων
*not-even the tenth of-the income*
ἡμῖν ἄρ᾽ ἐγίγνεθ᾽ ὁ μισθός.
*for-us then was the pay*
ΒΔΕΛΥΚΛΕΩΝ μὰ Δί᾽ οὐ μέντοι. ΦΙΛΟΚΛΕΩΝ καὶ ποῖ
*by Zeus not however and where*
τρέπεται δὴ ᾽πειτα τὰ χρήματα τἄλλα;
*turns indeed then the money the-rest*
ΒΔΕΛΥΚΛΕΩΝ ἐς τούτους τοὺς "οὐχὶ προδώσω
*to those the not I-will-betray*
τὸν Ἀθηναίων κολοσυρτόν,
*the of-Athenians rabble*
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους ἀεί."
*but I-will-fight for the people always*
σὺ γὰρ ὦ πάτερ αὐτοὺς
*you for O father them*
ἄρχειν αἱρεῖ σαυτοῦ τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
*to-rule you-choose over-yourself by-these the little-phrases cooked-around*
κᾆθ᾽ οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα
*and-then these indeed take-bribes at fifty talents*
ἀπὸ τῶν πόλεων ἐπαπειλοῦντες τοιαυτὶ κἀναφοβοῦντες,
*from the cities threatening such-here and-frightening*

"δώσετε τὸν φόρον, ἢ βροντήσας
*you-will-give the tribute or having-thundered*
τὴν πόλιν ὑμῶν ἀνατρέψω."
*the city your I-will-overturn*
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς
*you and of-the rule are-content the your*
τοὺς ἀργελόφους περιτρώγων.
*the gristle nibbling*
οἱ δὲ ξύμμαχοι ὡς ᾔσθηνται τὸν μὲν σύρφακα τὸν ἄλλον
*the and allies when they-perceived the indeed rabble the other*
ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδέν,
*from ballot-box starving and munching the nothing*
σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοισι δὲ δωροφοροῦσιν 675
*you indeed they-consider Connus' vote to-these and bring-gifts*
ὕρχας οἶνον δάπιδας τυρὸν μέλι σήσαμα προσκεφάλαια
*jars wine rugs cheese honey sesame pillows*
φιάλας χλανίδας στεφάνους ὅρμους ἐκπώματα πλουθυγιείαν·
*bowls cloaks garlands necklaces cups wealth-and-health*
σοὶ δ' ὧν ἄρχεις, πολλὰ μὲν ἐν γῇ
*to-you and of-whom you-rule much indeed on land*
πολλὰ δ' ἐφ' ὑγρᾷ πιτυλεύσας,
*much and on wet having-rowed*
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσιν.
*no-one not-even of-garlic head for-the boiled-fish gives*
ΦΙΛΟΚΛΕΩΝ μὰ Δί' ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς 680
*by Zeus but from Eucharides and-myself*
τρεῖς γ' ἄγλιθας μετέπεμψα.
*three at-least heads sent-for*
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.
*but it to-me the slavery not showing you-wear-out*

ΒΔΕΛΥΚΛΕΩΝ οὐ γὰρ μεγάλη δουλεία ’στὶν
*not for great slavery is*
τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς
*these indeed all in offices*
αὐτούς τ’ εἶναι καὶ τοὺς κόλακας
*themselves and to-be and the flatterers*
τοὺς τούτων μισθοφοροῦντας;
*the of-these drawing-pay*
σοὶ δ’ ἤν τις δῷ τοὺς τρεῖς ὀβολούς,
*to-you and if anyone gives the three obols*
ἀγαπᾷς· οὓς αὐτὸς ἐλαύνων
*you-are-content which yourself rowing*
685 καὶ πεζομαχῶν καὶ πολιορκῶν ἐκτήσω πολλὰ πονήσας.
*and fighting-on-foot and besieging acquired many toiling*
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς,
*and besides these being-ordered you-go*
ὃ μάλιστά μ’ ἀπάγχει,
*which most me chokes*
ὅταν εἰσελθὸν μειράκιόν σοι κατάπυγον, Χαιρέου υἱός,
*when coming-in lad to-you buggered of-Chaereas son*
ὠδὶ διαβὰς διακινηθεὶς τῷ σώματι καὶ τρυφερανθείς,
*so straddling swaying with-the body and pampered*
ἥκειν εἴπῃ πρῳὶ κἀν ὥρᾳ δικάσονθ’, ὡς ὅστις ἂν ὑμῶν
*to-come says early and-in season to-judge since whoever — of-you*
690 ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται·
*later comes than-the signal the three-obols not will-get*
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν δραχμήν, κἂν ὕστερος ἔλθῃ·
*himself and gets the advocate’s-fee drachma even-if later he-comes*
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ’ ἑαυτοῦ,
*and sharing with-the officials with-another one of-the with himself*

ἤν τίς τι διδῷ τῶν φευγόντων,
*if anyone something gives of-the defendants*
ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε
*arranging the matter two being*
ἐσπουδάκατον, κᾆθ' ὡς πρίονθ'
*they-two-have-been-busy and-then like sawing*
ὁ μὲν ἕλκει ὁ δ' ἀντενέδωκε·
*the one pulls the other gave-in-turn*
σὺ δὲ χασκάζεις τὸν κωλακρέτην,
*you and gape-at the paymaster*
τὸ δὲ πραττόμενόν σε λέληθεν.
*the and being-done you escapes*
ΦΙΛΟΚΛΕΩΝ ταυτί με ποιοῦσ'; οἴμοι τί λέγεις;
*these-here me they-do ah-me what do-you-say*
ὥς μου τὸν θῖνα ταράττεις,
*how of-me the depths you-stir*
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον,
*and the mind of-me you-bring-over more*
κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.
*and-not I-know what thing matter me you-do*
ΒΔΕΛΥΚΛΕΩΝ σκέψαι τοίνυν ὡς ἐξόν σοι
*look well-then how it-being-possible for-you*
πλουτεῖν καὶ τοῖσιν ἅπασιν
*to-be-rich and for-the all*
ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλησαι,
*by the always people-courting not I-know how you-are-encircled*
ὅστις πόλεων ἄρχων πλείστων
*who of-cities ruling most*
ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς
*from — Pontus to Sardinia*

οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις
*not you-enjoy except this which you-get*
ἀκαρῆ· καὶ τοῦτ' ἐρίῳ σοι
*a-whit and this with-wool for-you*
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ' ὥσπερ ἔλαιον.
*they-drip-in by little always of-the to-live for-the-sake like oil*
βούλονται γάρ σε πένητ' εἶναι·
*they-wish for you poor to-be*
καὶ τοῦθ' ὧν οὕνεκ' ἐρῶ σοι,
*and this which for-the-sake I-will-tell you*
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν,
*so-that you-may-know the tamer*
κᾆθ' ὅταν οὗτός γ' ἐπισίξῃ
*and-then when this-one at-least hisses*
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
*on the enemies someone having-set-on savagely on-them you-leap*
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι
*if for they-wished livelihood to-provide*
τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
*for-the people easy it-would-be —*
εἰσίν γε πόλεις χίλιαι αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι·
*are at-least cities thousand which now the tribute to-us bring*
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
*of-these twenty men to-feed if someone assigned to-each*
δύο μυριάδ' ἂν τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις
*two ten-thousands — of-the commons would-live in all hare-meats*
καὶ στεφάνοισιν παντοδαποῖσιν καὶ πυριάτῃ,
*and with-garlands all-kinds and beestings*
ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
*worthy of-the land enjoying and of-the at Marathon trophy*

νῦν δ' ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.
*now and like olive-gatherers you-go with the the pay holding*

ΦΙΛΟΚΛΕΩΝ οἴμοι τί πέπονθ'; ὡς νάρκη μου
*ah-me what have-I-suffered how numbness of-me*
κατὰ τῆς χειρὸς καταχεῖται,
*down the hand is-poured*
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.
*and the sword not I-can hold but already soft I-am*

ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, 715
*but whenever indeed they-are-afraid themselves*
τὴν Εὔβοιαν διδόασιν
*— Euboea they-give*
ὑμῖν καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους
*to-you and grain they-promise at fifty bushels*
πορισεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι
*to-provide they-gave and never to-you*
πλὴν πρώην πέντε μεδίμνους,
*except lately five bushels*
καὶ ταῦτα μόλις ξενίας φεύγων
*and these hardly for-alienage being-prosecuted*
ἔλαβες κατὰ χοίνικα κριθῶν.
*you-got by quart of-barley*
ὧν οὕνεκ' ἐγώ σ' ἀπέκλῃον ἀεὶ
*which for-the-sake I you shut-in always*
βόσκειν ἐθέλων καὶ μὴ τούτους 720
*to-feed wishing and not these*
ἐγχάσκειν σοι στομφάζοντας.
*to-gape-at you boasting*
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
*and now simply I-am-willing to-provide*

ὅ τι βούλει σοι,
*what thing you-wish to-you*
πλὴν κωλακρέτου γάλα πίνειν.
*except of-the-paymaster milk to-drink*
725 ΧΟΡΟΣ ἦ που σοφὸς ἦν ὅστις ἔφασκεν,
*truly surely wise was whoever said*
πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,
*before — of-both story you-hear*
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι
*not — you-would-judge you for then now to-me*
νικᾶν πολλῷ δεδόκησαι·
*to-win by-much have-seemed*
ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας τοὺς σκίπωνας καταβάλλω.
*so-that already the anger having-loosed the staffs I-throw-down*

## VI · THE CHORUS PERSUADED

*The chorus urges Philocleon to yield, Bdelycleon promises to keep him in every comfort, and the chorus thinks he has seen his errors. Philocleon cries that he longs only for the court and its voting urns.*

ΧΟΡΟΣ ἀλλ' ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς συνθιασῶτα,
*but O of-the age to-us the same fellow-reveler*
πιθοῦ πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ
*obey obey the-words nor senseless become*
730 μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.
*nor stubborn too-much unyielding and man*
εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
*would-that ought for-me guardian or kinsman*

εἶναί τις ὅστις τοιαῦτ' ἐνουθέτει.
*to-be someone who such-things admonished*
σοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανὴς
*to-you and now some of-gods present manifest*
ξυλλαμβάνει τοῦ πράγματος,
*lends-a-hand of-the matter*
καὶ δῆλός ἐστιν εὖ ποιῶν·
*and plain is well doing*
σὺ δὲ παρὼν δέχου.
*you and present accept*
ΒΔΕΛΥΚΛΕΩΝ καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
*and truly I-will-nourish at-least him providing*
ὅσα πρεσβύτῃ ξύμφορα, χόνδρον
*as-much-as for-old-man fitting gruel*
λείχειν, χλαῖναν μαλακήν, σισύραν,
*to-lick cloak soft blanket*
πόρνην, ἥτις τὸ πέος τρίψει
*whore who the cock will-rub*
καὶ τὴν ὀσφῦν.
*and the loin*
ἀλλ' ὅτι σιγᾷ κοὐδὲν γρύζει,
*but because he-is-silent and-nothing mutters*
τοῦτ' οὐ δύναταί με προσέσθαι.
*this not can me please*
ΧΟΡΟΣ νενουθέτηκεν αὑτὸν ἐς τὰ πράγματ', οἷς
*he-has-admonished himself about the affairs for-which*
τότ' ἐπεμαίνετ'· ἔγνωκε γὰρ ἀρτίως,
*then he-raved he-has-recognized for just-now*
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας
*reckons and those all errors*

ἃ σοῦ κελεύοντος οὐκ ἐπείθετο.
*which you bidding not he-obeyed*
νῦν δ' ἴσως τοῖσι σοῖς λόγοις πείθεται
*now and perhaps to-the your words obeys*
καὶ σωφρονεῖ μέντοι μεθιστὰς
*and is-sensible however changing*
ἐς τὸ λοιπὸν τὸν τρόπον
*for the in-future the way*
πιθόμενός τέ σοι.
*having-obeyed and you*
750 ΦΙΛΟΚΛΕΩΝ ἰώ μοί μοι. ΒΔΕΛΥΚΛΕΩΝ οὗτος τί βοᾷς;
*oh me me you why do-you-shout*
ΦΙΛΟΚΛΕΩΝ μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
*not to-me of-these anything promise*
κείνων ἔραμαι, κεῖθι γενοίμαν,
*those I-love there may-I-be*
ἵν' ὁ κῆρύξ φησι, "τίς ἀψήφιστος; ἀνιστάσθω."
*where the herald says who unvoted let-him-stand-up*
κἀπισταίην ἐπὶ τοῖς κημοῖς
*and-may-I-stand by the voting-funnels*
755 ψηφιζομένων ὁ τελευταῖος.
*of-those-voting the last*
σπεῦδ' ὦ ψυχή. ποῦ μοι ψυχή;
*hurry O soul where for-me soul*
πάρες ὦ σκιερά. μὰ τὸν Ἡρακλέα
*let-pass O shadowy by — Heracles*
μή νυν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
*not then still I among the jurors*
κλέπτοντα Κλέωνα λάβοιμι.
*stealing Cleon may-I-catch*

*Bdelycleon proposes that his father judge the household at home, with a chamber pot, a brazier, lentil soup, a cock to wake him, and the hero Lycus. The first case is the dog Labes, who stole a Sicilian cheese, and the court is furnished with a pigpen for a railing and ladles for urns.*

ΒΔΕΛΥΚΛΕΩΝ ἴθ' ὦ πάτερ πρὸς τῶν θεῶν ἐμοὶ πιθοῦ.
*come O father by the gods me obey*

ΦΙΛΟΚΛΕΩΝ τί σοι πίθωμαι; λέγ' ὅ τι βούλει πλὴν ἑνός.
*what you shall-I-obey say what thing you-wish except one-thing*

ΒΔΕΛΥΚΛΕΩΝ ποίου; φέρ' ἴδω.
*what come let-me-see*

ΦΙΛΟΚΛΕΩΝ τοῦ μὴ δικάζειν. τοῦτο δὲ
*of-the not to-judge this but*

Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.
*Hades will-decide first than I shall-obey*

ΒΔΕΛΥΚΛΕΩΝ σὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
*you and then since this you-delight doing*

ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε
*there indeed no-longer walk but here*

αὐτοῦ μένων δίκαζε τοῖσιν οἰκέταις.
*right-here staying judge the servants*

ΦΙΛΟΚΛΕΩΝ περὶ τοῦ; τί ληρεῖς;
*about what what are-you-babbling*

ΒΔΕΛΥΚΛΕΩΝ ταὔθ' ἅπερ ἐκεῖ πράττεται·
*the-same-things which-indeed there are-done*

ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρᾳ,
*that the door opened the housekeeper secretly*

ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
*on-her fine you-will-vote one only*

πάντως δὲ κἀκεῖ ταῦτ᾽ ἔδρας ἑκάστοτε.
*in-any-case and also-there these you-did each-time*

καὶ ταῦτα μέν νυν εὐλόγως, ἢν ἐξέχῃ
*and these indeed now reasonably if shines-out*

ἕλη κατ᾽ ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
*sunshine at dawn you-will-sit-in-the-sun toward sun*

ἐὰν δὲ νείφῃ, πρὸς τὸ πῦρ καθήμενος·
*if and it-snows by the fire sitting*

ὕοντος εἶσει· κἂν ἔγρῃ μεσημβρινός,
*raining you-will-go-in and-if you-wake midday*

οὐδείς σ᾽ ἀποκλῄσει θεσμοθέτης τῇ κιγκλίδι.
*no-one you will-shut-out thesmothete with-the railing*

ΦΙΛΟΚΛΕΩΝ τουτί μ᾽ ἀρέσκει.
*this-here me pleases*

ΒΔΕΛΥΚΛΕΩΝ πρὸς δὲ τούτοις γ᾽, ἢν δίκην
*besides and these at-least if suit*

λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς
*speaks long someone not starving will-you-wait*

δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον.
*biting yourself and the defendant*

ΦΙΛΟΚΛΕΩΝ πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι
*how then to-discern well shall-I-be-able*

ὥσπερ πρότερον τὰ πράγματ᾽ ἔτι μασώμενος;
*as before the affairs still chewing*

ΒΔΕΛΥΚΛΕΩΝ πολλῷ γ᾽ ἄμεινον· καὶ λέγεται γὰρ τουτογί,
*much at-least better and is-said for this-here*

ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων
*that the jurors lying the witnesses*

μόλις τὸ πρᾶγμ᾽ ἔγνωσαν ἀναμασώμενοι.
*hardly the matter discerned chewing-it-over*

ΦΙΛΟΚΛΕΩΝ ἀνά τοί με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις,
*up surely me you-persuade but that not-yet you-say*
τὸν μισθὸν ὁπόθεν λήψομαι.
*the pay whence I-shall-get*
ΒΔΕΛΥΚΛΕΩΝ παρ' ἐμοῦ. ΦΙΛΟΚΛΕΩΝ καλῶς,
*from me well*
ὁτιὴ κατ' ἐμαυτὸν κοὐ μεθ' ἑτέρου λήψομαι.
*because by myself and-not with another I-shall-get*
αἴσχιστα γάρ τοί μ' ἠργάσατο Λυσίστρατος
*most-shamefully for surely me treated Lysistratus*
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν
*the joker drachma with me lately having-got*
ἐλθὼν διεκερματίζετ' ἐν τοῖς ἰχθύσιν,
*going got-it-changed among the fish*
κἄπειτ' ἐνέθηκε τρεῖς λοπίδας μοι κεστρέων·
*and-then he-put-in three scales for-me of-mullets*
κἀγὼ 'νέκαψ'· ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν·
*and-I gulped-them obols for I-thought to-get*
κᾆτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα·
*and-then disgusted smelling I-spat-out*
κᾆθ' εἷλκον αὐτόν. ΒΔΕΛΥΚΛΕΩΝ ὁ δὲ τί
*and-then I-dragged him he and what*
πρὸς ταῦτ' εἶφ'; ΦΙΛΟΚΛΕΩΝ ὅ τι;
*to this said what thing*
ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν·
*of-cock me he-said belly to-have*
"ταχὺ γοῦν καθέψεις τἀργύριον," ἢ δ' ὃς λέγων.
*quickly at-least you-will-digest the-money said and he saying*
ΒΔΕΛΥΚΛΕΩΝ ὁρᾷς ὅσον καὶ τοῦτο δῆτα κερδανεῖς.
*you-see how-much also this then you-will-gain*

ΦΙΛΟΚΛΕΩΝ οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.
*not very at-all small but what you-intend do*

ΒΔΕΛΥΚΛΕΩΝ ἀνάμενέ νυν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.
*wait now I and these will-come bringing*

ΦΙΛΟΚΛΕΩΝ ὅρα τὸ χρῆμα, τὰ λόγι' ὡς περαίνεται.
*see the thing the oracles how are-fulfilled*

ἠκηκόη γὰρ ὡς Ἀθηναῖοί ποτε
*I-had-heard for that Athenians some-day*

δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
*would-judge in the houses the suits*

κἀν τοῖς προθύροις ἐνοικοδομήσοι πᾶς ἀνὴρ
*and-in the porches would-build every man*

αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ,
*for-himself little-court small very*

ὥσπερ Ἑκάταιον, πανταχοῦ πρὸ τῶν θυρῶν.
*like shrine-of-Hecate everywhere before the doors*

ΒΔΕΛΥΚΛΕΩΝ ἰδού, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω
*look what still will-you-say since all I bring*

ὅσαπερ ἔφασκον, κἄτι πολλῷ πλείονα.
*as-many-as I-said and-still by-much more*

ἀμὶς μέν, ἢν οὐρητιάσῃς, αὑτηὶ
*chamber-pot indeed if you-need-to-piss this-here*

παρά σοι κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.
*by you will-hang near on the peg*

ΦΙΛΟΚΛΕΩΝ σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον
*clever at-least this-here and for-old-man fitting*

ἐξηῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
*you-have-found simply remedy of-strangury*

ΒΔΕΛΥΚΛΕΩΝ καὶ πῦρ γε τουτί· καὶ προσέστηκεν φακῆ
*and fire at-least this-here and stands-by lentil-soup*
ῥοφεῖν, ἐὰν δέῃ τι. ΦΙΛΟΚΛΕΩΝ τοῦτ' αὖ δεξιόν·
*to-gulp if one-needs something this in-turn clever*
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
*and-if for I-have-fever the at-least pay I-shall-get*
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
*here staying for the lentil-soup I-shall-gulp*
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε; 815
*but why the bird to me did-you-bring-out*
ΒΔΕΛΥΚΛΕΩΝ ἵνα γ', ἢν καθεύδῃς ἀπολογουμένου τινός,
*so-that at-least if you-sleep defending-himself someone*
ᾄδων ἄνωθεν ἐξεγείρῃ σ' οὑτοσί.
*singing from-above may-wake you this-here*
ΦΙΛΟΚΛΕΩΝ ἓν ἔτι ποθῶ, τὰ δ' ἄλλ' ἀρέσκει μοι.
*one-thing still I-miss the and rest pleases me*
ΒΔΕΛΥΚΛΕΩΝ τὸ τί;
*the what*
ΦΙΛΟΚΛΕΩΝ θἠρῷον εἴ πως ἐκκομίσαις τὸ τοῦ Λύκου.
*the-hero-shrine if somehow you-could-bring-out the — of-Lycus*
ΒΔΕΛΥΚΛΕΩΝ πάρεστι τουτί, καὐτὸς ἄναξ οὑτοσί. 820
*is-here this-here and-himself the-lord this-here*
ΦΙΛΟΚΛΕΩΝ ὦ δέσποθ' ἥρως ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν.
*O master hero how hard then you-were to-see*
ΒΔΕΛΥΚΛΕΩΝ οἷόσπερ ἡμῖν φαίνεται Κλεώνυμος.
*such-as to-us appears Cleonymus*
ΦΙΛΟΚΛΕΩΝ οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.
*not-then has at-least nor himself hero being arms*

ΒΔΕΛΥΚΛΕΩΝ εἰ θᾶττον ἐκαθίζου σύ, θᾶττον ἂν δίκην
*if quicker you-sat you quicker — suit*
ἐκάλουν. ΦΙΛΟΚΛΕΩΝ κάλει νυν, ὡς κάθημαι ’γὼ πάλαι.
*I-would-call call now since I-sit I long-since*
ΒΔΕΛΥΚΛΕΩΝ φέρε νυν τίν’ αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
*come now what for-him first shall-I-bring-in suit*
τί τίς κακὸν δέδρακε τῶν ἐν τῳκίᾳ;
*what who evil has-done of-those in the-house*
ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν —
*the Thracian-girl having-burned lately the pot*
ΦΙΛΟΚΛΕΩΝ ἐπίσχες οὗτος· ὡς ὀλίγου μ’ ἀπώλεσας.
*hold-on you how nearly me you-ruined*
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
*without railing the suit you-are-about to-call*
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο;
*which first to-us of-the holy-things appeared*
ΒΔΕΛΥΚΛΕΩΝ μὰ τὸν Δί’ οὐ πάρεστιν. ΦΙΛΟΚΛΕΩΝ ἀλλ’ ἐγὼ δραμὼν
*by — Zeus not is-here but I running*
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ’ ἔνδοθεν.
*myself will-fetch it at-least at-once from-inside*
ΒΔΕΛΥΚΛΕΩΝ τί ποτε τὸ χρῆμ’; ὡς δεινὸν ἡ φιλοχωρία.
*what ever the thing how terrible the love-of-place*
ΣΩΣΙΑΣ βάλλ’ ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
*throw to crows such-here to-keep dog*
ΒΔΕΛΥΚΛΕΩΝ τί δ’ ἔστιν ἑτέον; ΣΩΣΙΑΣ οὐ γὰρ ὁ Λάβης ἀρτίως
*what and is-it really not for — Labes just-now*
ὁ κύων παρᾴξας ἐς τὸν ἰπνὸν ὑφαρπάσας
*the dog darting into the kitchen having-snatched*
τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκεν;
*round of-cheese Sicilian has-eaten-up*

ΒΔΕΛΥΚΛΕΩΝ τοῦτ᾽ ἆρα πρῶτον τἀδίκημα τῷ πατρὶ
*this then first the-crime for-the father*
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.
*must-be-brought-in by-me you and prosecute being-present*
ΣΩΣΙΑΣ μὰ Δί᾽ οὐκ ἔγωγ᾽· ἀλλ᾽ ἄτερός φησιν κύων
*by Zeus not I-at-least but the-other says dog*
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.
*to-prosecute if someone brings-in indictment*
ΒΔΕΛΥΚΛΕΩΝ ἴθι νυν ἄγ᾽ αὐτὼ δεῦρο. ΣΩΣΙΑΣ ταῦτα χρὴ ποιεῖν.
*come now lead them here these one-must do*
ΒΔΕΛΥΚΛΕΩΝ τουτὶ τί ἔστι; ΦΙΛΟΚΛΕΩΝ χοιροκομεῖον Ἑστίας.
*this-here what is-it pig-pen of-Hestia*
ΒΔΕΛΥΚΛΕΩΝ εἶθ᾽ ἱεροσυλήσας φέρεις;
*then having-committed-sacrilege do-you-bring-it*
ΦΙΛΟΚΛΕΩΝ οὔκ, ἀλλ᾽ ἵνα
*no but so-that*
ἀφ᾽ Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
*from Hestia beginning I-may-crush someone*
ἀλλ᾽ εἴσαγ᾽ ἀνύσας· ὡς ἐγὼ τιμᾶν βλέπω.
*but bring-in quickly since I to-assess-penalty look*
ΒΔΕΛΥΚΛΕΩΝ φέρε νυν ἐνέγκω τὰς σανίδας καὶ τὰς γραφάς.
*come now let-me-bring the boards and the indictments*
ΦΙΛΟΚΛΕΩΝ οἴμοι διατρίβεις κἀπολεῖς τριψημερῶν·
*ah-me you-delay and-you-will-ruin wearing-out-the-days*
ἐγὼ δ᾽ ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
*I and to-furrow needed the plot*

ΒΔΕΛΥΚΛΕΩΝ ἰδού. ΦΙΛΟΚΛΕΩΝ κάλει νυν.
*look* *call* *now*

ΒΔΕΛΥΚΛΕΩΝ ταῦτα δή. τίς οὑτοσὶ
*this* *indeed* *who* *this-here*

ὁ πρῶτός ἐστιν; ΦΙΛΟΚΛΕΩΝ ἐς κόρακας, ὡς ἄχθομαι
*the* *first* *is* *to* *crows* *how* *I-am-vexed*

ὁτιὴ ’πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
*because* *I-forgot* *the* *urns* *to-bring-out*

ΒΔΕΛΥΚΛΕΩΝ οὗτος σὺ ποῖ θεῖς;
*you* *you* *where* *do-you-run*

ΦΙΛΟΚΛΕΩΝ ἐπὶ καδίσκους. ΒΔΕΛΥΚΛΕΩΝ μηδαμῶς.
*for* *urns* *by-no-means*

855 ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
*I* *for* *had* *these* *the* *ladles*

ΦΙΛΟΚΛΕΩΝ κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν
*finest* *well-then* *all* *for* *are-present* *to-us-two*

ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
*as-many-as* *we-need* *except* *at-least* *indeed* *the* *water-clock*

ΒΔΕΛΥΚΛΕΩΝ ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
*this-here* *and* *indeed* *what* *is* *not* *water-clock*

ΦΙΛΟΚΛΕΩΝ εὖ γ’ ἐκπορίζεις αὐτὰ κἀπιχωρίως.
*well* *at-least* *you-provide* *them* *and-in-local-fashion*

860 ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ’ ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω
*but* *as* *quickly-as-possible* *fire* *someone* *let-bring-out*

καὶ μυρρίνας καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
*and* *myrtles* *and* *the* *frankincense* *from-inside*

ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
*so-that* — *we-may-pray* *first* *to-the* *gods*

*The chorus and Bdelycleon pray to Apollo of the street that the old man's harsh temper be softened with honey, and that he pity defendants rather than prosecutors.*

ΧΟΡΟΣ καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς
*and truly we at the libations*
καὶ ταῖς εὐχαῖς
*and the prayers*
φήμην ἀγαθὴν λέξομεν ὑμῖν,
*report good we-will-speak to-you*
ὅτι γενναίως ἐκ τοῦ πολέμου
*that nobly from the war*
καὶ τοῦ νείκους ξυνεβήτην.
*and the quarrel they-two-came-together*
ΒΔΕΛΥΚΛΕΩΝ εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
*holy-silence indeed first now let-there-be*
ΧΟΡΟΣ ὦ Φοῖβ' Ἄπολλον Πύθι' ἐπ' ἀγαθῇ τύχῃ
*O Phoebus Apollo Pythian for good fortune*
τὸ πρᾶγμ' ὃ μηχανᾶται
*the matter which contrives*
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
*in-front this of-the doors*
ἅπασιν ἡμῖν ἁρμόσαι
*for-all us to-fit*
παυσαμένοις πλάνων.
*having-ceased from-wanderings*
ἰήιε Παιάν.
*ieie Paean*

875 ΒΔΕΛΥΚΛΕΩΝ ὦ δέσποτ᾽ ἄναξ γείτον ἀγυιεῦ
*O master lord neighbor of-the-street*
τοὐμοῦ προθύρου προπύλαιε,
*of-my of-porch of-the-gateway*
δέξαι τελετὴν καινὴν ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν,
*receive rite new O-lord which for-the father we-innovate*
παῦσόν τ᾽ αὐτοῦ τοῦτο τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος,
*stop and of-him this the too sour and holm-oak character*
ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμείξας·
*instead-of new-wine honey little in-the little-temper mixing*
ἤδη δ᾽ εἶναι τοῖς ἀνθρώποις
*now and to-be to-the people*
ἥπιον αὐτόν,
*gentle him*
880 τοὺς φεύγοντάς τ᾽ ἐλεεῖν μᾶλλον
*the defendants and to-pity more*
τῶν γραψαμένων
*than-the prosecutors*
κἀπιδακρύειν ἀντιβολούντων,
*and-to-weep-over beggars*
καὶ παυσάμενον τῆς δυσκολίας
*and having-ceased from-the peevishness*
ἀπὸ τῆς ὀργῆς
*from the anger*
τὴν ἀκαλήφην ἀφελέσθαι.
*the nettle to-take-away*
885 ΧΟΡΟΣ ξυνευχόμεσθα ταὐτά σοι κἀπᾴδομεν
*we-pray-with the-same-things with-you and-sing-in-accompaniment*
νέαισιν ἀρχαῖς ἕνεκα τῶν προλελεγμένων.
*on-new beginnings for-the-sake-of the said-before*

εὖνοι γάρ ἐσμεν ἐξ οὗ
*well-disposed for we-are since which*
τὸν δῆμον ᾐσθόμεσθά σου
*the people we-perceived you*
φιλοῦντος ὡς οὐδεὶς ἀνὴρ
*loving as no man*
τῶν γε νεωτέρων.
*of-the at-least younger*
ἰήιε Παιάν.
*ieie Paean*

## IX · THE TRIAL OF LABES

*The dog of Cydathenaeum prosecutes Labes for eating the cheese alone, and Philocleon is ready to convict. Bdelycleon defends him as a good guard dog who cannot play the lyre, calls the cheese-grater as witness, and brings in the puppies to beg. Moved, his father is steered to drop his pebble in the acquittal urn, faints on learning Labes is acquitted, and is promised a life of pleasure.*

ΒΔΕΛΥΚΛΕΩΝ εἴ τις θύρασιν ἡλιαστής, εἰσίτω·
*if any at-the-door juror let-him-come-in*
ὡς ἡνίκ' ἂν λέγωσιν οὐκ ἐσφρήσομεν.
*since when — they-speak not we-will-let-in*
ΦΙΛΟΚΛΕΩΝ τίς ἆρ' ὁ φεύγων; ΒΔΕΛΥΚΛΕΩΝ οὗτος.
*who then the defendant this*
ΦΙΛΟΚΛΕΩΝ ὅσον ἁλώσεται.
*how-much he-will-be-convicted*
ΒΔΕΛΥΚΛΕΩΝ ἀκούετ' ἤδη τῆς γραφῆς. ἐγράψατο
*hear now the indictment indicted*
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα
*dog of-Cydathenaeum Labes of-Aexone*

τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιεν
*the cheese to-wrong because alone he-ate-up*
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.
*the Sicilian penalty collar fig-wood*
ΦΙΛΟΚΛΕΩΝ θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ.
*death indeed rather dog's if once he-is-convicted*
ΒΔΕΛΥΚΛΕΩΝ καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.
*and truly the defendant this-here Labes is-here*
900 ΦΙΛΟΚΛΕΩΝ ὦ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον βλέπει,
*O foul this how and also thievish he-looks*
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
*how grinning to-deceive me he-thinks*
ποῦ δ' ἔσθ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;
*where and is the prosecutor the of-Cydathenaeum dog*
ΚΥΩΝ αὖ αὖ.
*bow wow*
ΒΔΕΛΥΚΛΕΩΝ πάρεστιν οὗτος. ΦΙΛΟΚΛΕΩΝ ἕτερος οὗτος αὖ Λάβης.
*is-here this other this in-turn Labes*
ΒΔΕΛΥΚΛΕΩΝ ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.
*good at-least to-bark and to-lick-clean the pots*
905 σίγα, κάθιζε· σὺ δ' ἀναβὰς κατηγόρει.
*silence sit-down you and stepping-up accuse*
ΦΙΛΟΚΛΕΩΝ φέρε νυν ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
*come now at-once this having-poured-myself and-I gulp*
ΣΩΣΙΑΣ τῆς μὲν γραφῆς ἠκούσαθ' ἣν ἐγραψάμην
*the indeed indictment you-heard which I-indicted*
ἄνδρες δικασταὶ τουτονί. δεινότατα γὰρ
*men jurors this-here most-terrible for*
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυππαπαῖ.
*of-deeds has-done both-me and the yo-heave-ho*

ἀποδρὰς γὰρ ἐς τὴν γωνίαν τυρὸν πολὺν
*running-off for into the corner cheese much*
κατεσικέλιζε κἀνέπλητ᾽ ἐν τῷ σκότῳ —
*he-Sicilianized and-filled-himself in the dark*
ΦΙΛΟΚΛΕΩΝ νὴ τὸν Δί᾽ ἀλλὰ δῆλός ἐστ᾽· ἔμοιγέ τοι
*by — Zeus but plain he-is to-me-at-least surely*
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
*of-cheese worst just-now he-belched*
ὁ βδελυρὸς οὗτος. ΣΩΣΙΑΣ κοὐ μετέδωκ᾽ αἰτοῦντί μοι.
*the loathsome this and-not gave-a-share asking to-me*
καίτοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται,
*and-yet who you well to-treat will-be-able*
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;
*if not something also-to-me someone throws the dog*
ΦΙΛΟΚΛΕΩΝ οὐδὲν μετέδωκεν οὐδὲ τῷ κοινῷ γ᾽ ἐμοί.
*nothing he-shared not-even with-the common at-least me*
θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.
*hot for the-man nothing less than-the lentil-soup*
ΒΔΕΛΥΚΛΕΩΝ πρὸς τῶν θεῶν μὴ προκαταγίγνωσκ᾽ ὦ πάτερ,
*by the gods not condemn-beforehand O father*
πρὶν ἄν γ᾽ ἀκούσῃς ἀμφοτέρων. ΦΙΛΟΚΛΕΩΝ ἀλλ᾽ ὦγαθὲ
*before — at-least you-hear both but good-sir*
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.
*the matter plain is itself for shouts*
ΣΩΣΙΑΣ μή νυν ἀφῆτέ γ᾽ αὐτόν, ὡς ὄντ᾽ αὖ πολὺ
*not now let-go at-least him since being in-turn much*
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
*of-dogs all man most-solitary-eating*
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ
*who having-sailed-around the mortar in circle*

ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκεν.
*from the cities the rind has-eaten-up*

ΦΙΛΟΚΛΕΩΝ ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.
*to-me and at-least not is-there not-even the water-jar to-patch*

ΣΩΣΙΑΣ πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
*to this him punish not for — ever*

τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο·
*to-feed could — one thicket thieves two*

ἵνα μὴ κεκλάγγω διὰ κενῆς ἄλλως ἐγώ·
*so-that not I-have-barked in vain idly I*

ἐὰν δὲ μή, τὸ λοιπὸν οὐ κεκλάγξομαι.
*if and not the in-future not I-will-bark*

ΦΙΛΟΚΛΕΩΝ ἰοὺ ἰού.
*oh oh*

ὅσας κατηγόρησε τὰς πανουργίας.
*how-many he-denounced the villainies*

κλέπτον τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ
*thievish the thing of-the-man not also to-you seems*

ὦλεκτρυόν; νὴ τὸν Δί' ἐπιμύει γέ τοι.
*O-cock by — Zeus he-winks at-least surely*

ὁ θεσμοθέτης· ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.
*the thesmothete where is-he this chamber-pot me let-give*

ΒΔΕΛΥΚΛΕΩΝ αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ ἐσκαλῶ.
*yourself take-it-down the witnesses for I-call-in*

Λάβητι μάρτυρας παρεῖναι τρύβλιον
*for-Labes witnesses to-be-present bowl*

δοίδυκα τυρόκνηστιν ἐσχάραν χύτραν,
*pestle cheese-grater brazier pot*

καὶ τἄλλα, τὰ σκεύη τὰ προσκεκαυμένα.
*and the-other the utensils the burnt*

ἀλλ᾽ ἔτι σύ γ᾽ οὐρεῖς καὶ καθίζεις οὐδέπω;
*but still you at-least piss and sit not-yet*

ΦΙΛΟΚΛΕΩΝ τοῦτον δέ γ᾽ οἶμ᾽ ἐγὼ χεσεῖσθαι τήμερον.
*this-one and at-least I-think I to-shit today*

ΒΔΕΛΥΚΛΕΩΝ οὐκ αὖ σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
*not in-turn you will-stop harsh being and peevish*

καὶ ταῦτα τοῖς φεύγουσιν, ἀλλ᾽ ὀδὰξ ἔχει;
*and these to-the defendants but with-the-teeth you-hold*

ἀνάβαιν᾽, ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.
*step-up defend-yourself why are-you-silent speak*

ΦΙΛΟΚΛΕΩΝ ἀλλ᾽ οὐκ ἔχειν οὗτός γ᾽ ἔοικεν ὅ τι λέγῃ.
*but not to-have this-one at-least seems what thing he-may-say*

ΒΔΕΛΥΚΛΕΩΝ οὔκ, ἀλλ᾽ ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
*no but that to-me seems to-have-suffered*

ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης·
*which-indeed once on-trial suffered also Thucydides*

ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
*paralyzed suddenly he-became in-the jaws*

πάρεχ᾽ ἐκποδών. ἐγὼ γὰρ ἀπολογήσομαι.
*give-way out-of-the-way I for will-plead-the-defense*

χαλεπὸν μὲν ὦνδρες ἐστὶ διαβεβλημένου
*hard indeed O-men is for-slandered*

ὑπεραποκρίνεσθαι κυνός, λέξω δ᾽ ὅμως.
*to-answer-for dog I-will-speak and nevertheless*

ἀγαθὸς γάρ ἐστι καὶ διώκει τοὺς λύκους.
*good for he-is and pursues the wolves*

ΦΙΛΟΚΛΕΩΝ κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.
*thief indeed rather this at-least and conspirator*

ΒΔΕΛΥΚΛΕΩΝ μὰ Δί᾽ ἀλλ᾽ ἄριστός ἐστι τῶν νυνὶ κυνῶν
*by Zeus but best is of-the now dogs*
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
*able — over-many little-sheep to-be-set*
ΦΙΛΟΚΛΕΩΝ τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
*what then use the cheese if he-eats-up*
ΒΔΕΛΥΚΛΕΩΝ ὅ τι; σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν
*what thing for-you he-fights-for and guards the door*
καὶ τἄλλ᾽ ἄριστός ἐστιν· εἰ δ᾽ ὑφείλετο,
*and the-other-things best he-is if and he-pilfered*
ξύγγνωθι. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
*pardon to-play-the-lyre for not he-knows*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ δ᾽ ἐβουλόμην ἂν οὐδὲ γράμματα,
*I and would-wish — not-even letters*
ἵνα μὴ κακουργῶν ἐνέγραφ᾽ ἡμῖν τὸν λόγον.
*so-that not doing-mischief he-wrote-in for-us the speech*
ΒΔΕΛΥΚΛΕΩΝ ἄκουσον ὦ δαιμόνιέ μου τῶν μαρτύρων.
*hear O strange-one of-me the witnesses*
ἀνάβηθι τυρόκνηστι καὶ λέξον μέγα·
*step-up cheese-grater and speak loud*
σὺ γὰρ ταμιεύουσ᾽ ἔτυχες. ἀπόκριναι σαφῶς,
*you for being-steward happened answer clearly*
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἅλαβες.
*if not you-grated for-the soldiers what-you-got*
φησὶ κατακνῆσαι. ΦΙΛΟΚΛΕΩΝ νὴ Δί᾽ ἀλλὰ ψεύδεται.
*she-says to-have-grated by Zeus but she-lies*
ΒΔΕΛΥΚΛΕΩΝ ὦ δαιμόνι᾽ ἐλέει ταλαιπωρουμένους.
*O strange-one pity sufferers*
οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι᾽ ἐσθίει
*this for — Labes also necks eats*

καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει.
*and the fish-spines and-never in the-same-place stays*
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
*the and other such-as is house-keeper only*
αὐτοῦ μένων γὰρ ἅττ' ἂν ἔἴσω τις φέρῃ
*here staying for whatever — inside someone brings*
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
*of-these he-demands the share if and not he-bites*
ΦΙΛΟΚΛΕΩΝ αἰβοῖ. τί κακόν ποτ' ἔσθ' ὅτῳ μαλάττομαι;
*ugh what evil ever is-it by-which I-am-softened*
κακόν τι περιβαίνει με κἀναπείθομαι.
*evil something comes-around me and-I-am-persuaded*
ΒΔΕΛΥΚΛΕΩΝ ἴθ' ἀντιβολῶ σ'· οἰκτίρατ' αὐτὸν ὦ πάτερ,
*come I-beg you pity him O father*
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
*and not destroy where the children*
ἀναβαίνετ' ὦ πόνηρα καὶ κνυζούμενα
*step-up O wretched and whimpering*
αἰτεῖτε κἀντιβολεῖτε καὶ δακρύετε.
*beg and-entreat and weep*
ΦΙΛΟΚΛΕΩΝ κατάβα κατάβα κατάβα κατάβα.
*step-down step-down step-down step-down*
ΒΔΕΛΥΚΛΕΩΝ καταβήσομαι.
*I-will-step-down*
καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
*and-yet the step-down this many indeed very*
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.
*has-deceived but nevertheless I-will-step-down*

ΦΙΛΟΚΛΕΩΝ ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
*to crows how not good is the to-gulp*
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν
*I for wept-away now opinion my*
οὐδέν ποτ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
*nothing ever but — with-the lentil-soup filled*
985 ΒΔΕΛΥΚΛΕΩΝ οὔκουν ἀποφεύγει δῆτα; ΦΙΛΟΚΛΕΩΝ χαλεπὸν εἰδέναι.
*not-then is-be-acquitted then hard to-know*
ΒΔΕΛΥΚΛΕΩΝ ἴθ' ὦ πατρίδιον ἐπὶ τὰ βελτίω τρέπου.
*come O little-father to the better turn*
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
*this-here having-taken the pebble to the second*
μύσας παρᾷξον κἀπόλυσον ὦ πάτερ.
*having-closed-your-eyes dart-past and-acquit O father*
ΦΙΛΟΚΛΕΩΝ οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
*not then to-play-the-lyre for not I-know*
990 ΒΔΕΛΥΚΛΕΩΝ φέρε νύν σε τηδὶ τὴν ταχίστην περιάγω.
*come now you this-way the quickest I-lead-around*
ΦΙΛΟΚΛΕΩΝ ὅδ' ἔσθ' ὁ πρότερος; ΒΔΕΛΥΚΛΕΩΝ οὗτος·
*this is the first this*
ΦΙΛΟΚΛΕΩΝ αὕτη 'ναῦθ' ἔνι.
*this-one here is-in*
ΒΔΕΛΥΚΛΕΩΝ ἐξηπάτηται κἀπολέλυκεν οὐχ ἑκών.
*he-has-been-deceived and-has-acquitted not willing*
φέρ' ἐξεράσω. ΦΙΛΟΚΛΕΩΝ πῶς ἄρ' ἠγωνίσμεθα;
*come let-me-pour-out how then we-have-contested*
ΒΔΕΛΥΚΛΕΩΝ δείξειν ἔοικεν. ἐκπέφευγας ὦ Λάβης.
*to-show it-seems you-have-been-acquitted O Labes*
995 πάτερ πάτερ τί πέπονθας; οἴμοι· ποῦ 'σθ' ὕδωρ;
*father father what have-you-suffered ah-me where is water*

ἔπαιρε σαυτόν. ΦΙΛΟΚΛΕΩΝ εἰπέ νυν ἐκεῖνό μοι,
*lift yourself tell now that to-me*
ὄντως ἀπέφυγε; ΒΔΕΛΥΚΛΕΩΝ νὴ Δί᾽· ΦΙΛΟΚΛΕΩΝ οὐδέν εἰμ᾽ ἄρα.
*really was-he-acquitted by Zeus nothing I-am then*
ΒΔΕΛΥΚΛΕΩΝ μὴ φροντίσῃς ὦ δαιμόνι᾽· ἀλλ᾽ ἀνίστασο.
*not worry O strange-one but stand-up*
ΦΙΛΟΚΛΕΩΝ πῶς οὖν ἐμαυτῷ τοῦτ᾽ ἐγὼ ξυνείσομαι,
*how then to-myself this I shall-be-conscious-of*
φεύγοντ᾽ ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
*defendant having-acquitted man what ever shall-I-suffer*
ἀλλ᾽ ὦ πολυτίμητοι θεοὶ ξύγγνωτέ μοι·
*but O much-honored gods pardon me*
ἄκων γὰρ αὖτ᾽ ἔδρασα κοὐ τοὐμοῦ τρόπου.
*unwilling for it I-did and-not of-the-my way*
ΒΔΕΛΥΚΛΕΩΝ καὶ μηδὲν ἀγανάκτει γ᾽. ἐγὼ γάρ σ᾽ ὦ πάτερ
*and nothing be-vexed at-least I for you O father*
θρέψω καλῶς, ἄγων μετ᾽ ἐμαυτοῦ πανταχοῖ,
*will-nourish well taking with myself everywhere*
ἐπὶ δεῖπνον, ἐς ξυμπόσιον, ἐπὶ θεωρίαν,
*to dinner to drinking-party to show*
ὥσθ᾽ ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
*so-that pleasantly to-spend you the remaining time*
κοὐκ ἐγχανεῖταί σ᾽ ἐξαπατῶν Ὑπέρβολος.
*and-not will-mock you deceiving Hyperbolus*
ἀλλ᾽ εἰσίωμεν. ΦΙΛΟΚΛΕΩΝ ταῦτά νυν, εἴπερ δοκεῖ.
*but let-us-go-in this now if-indeed it-seems-good*

*The chorus says the audience wronged the poet by rejecting his best comedy last year, though he has fought a jagged-toothed monster and the fevers for them, and urges them to cherish new ideas. The old men boast of how they fought the Persians in their youth, explain their stings as those of true Attic wasps, and would deny the three obols to drones who take their pay without fighting.*

ΧΟΡΟΣ ἀλλ᾽ ἴτε χαίροντες ὅποι βούλεσθ᾽.
*but go rejoicing wherever you-wish*

ὑμεῖς δὲ τέως ὦ μυριάδες
*you and meanwhile O ten-thousands*

ἀναρίθμητοι,
*countless*

νῦν τὰ μέλλοντ᾽ εὖ λέγεσθαι
*now the about-to-be well spoken*

μὴ πέσῃ φαύλως χαμᾶζ᾽
*lest it-fall cheaply to-the-ground*

εὐλαβεῖσθε.
*beware*

τοῦτο γὰρ σκαιῶν θεατῶν
*this for of-stupid spectators*

ἐστὶ πάσχειν, κοὐ πρὸς ὑμῶν.
*is to-suffer and-not of you*

νῦν αὖτε λεῴ προσέχετε τὸν νοῦν,
*now in-turn people attend the mind*

εἴπερ καθαρόν τι φιλεῖτε.
*if-indeed pure anything you-love*

μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
*to-reproach for the spectators the poet now desires*

ἀδικεῖσθαι γάρ φησιν πρότερος
*to-be-wronged for he-says first*
πόλλ' αὐτοὺς εὖ πεποιηκώς,
*many-things them well having-treated*
τὰ μὲν οὐ φανερῶς ἀλλ' ἐπικουρῶν
*the indeed not openly but helping*
κρύβδην ἑτέροισι ποιηταῖς,
*secretly other poets*
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν,
*imitating the of-Eurycles prophecy and design*
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς κωμῳδικὰ πολλὰ χέασθαι· 1020
*into others' bellies entering comic many-things to-pour*
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ' ἑαυτόν,
*after this and also openly now running-risks by himself*
οὐκ ἀλλοτρίων ἀλλ' οἰκείων Μουσῶν στόμαθ' ἡνιοχήσας.
*not others' but his-own Muses' mouths having-driven*
ἀρθεὶς δὲ μέγας καὶ τιμηθεὶς ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν,
*lifted and great and honored as no-one ever among you*
οὐκ †ἐκτελέσαι† φησὶν ἐπαρθεὶς οὐδ' ὀγκῶσαι τὸ φρόνημα,
*not to-have-finished he-says being-elated nor to-puff-up the pride*
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ' εἴ τις ἐραστὴς 1025
*nor wrestling-schools to-revel-around trying nor if any lover*
κωμῳδεῖσθαι παιδίχ' ἑαυτοῦ μισῶν ἔσπευσε πρὸς αὐτόν,
*to-be-satirized darling his-own hating hurried to him*
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
*to-no-one ever he-says to-have-obeyed sense some having fair*
ἵνα τὰς Μούσας αἷσιν χρῆται μὴ προαγωγοὺς ἀποφήνῃ.
*so-that the Muses whom he-uses not panders he-may-show*

οὐδ' ὅτε πρῶτόν γ' ἦρξε διδάσκειν,
*nor when first at-least he-began to-produce*
ἀνθρώποις φήσ' ἐπιθέσθαι,
*men he-says to-attack*
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖν,
*but of-Heracles anger some having the greatest to-attack*
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι,
*boldly closing at-once from beginning with-the-very the jagged-toothed*
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
*whose most-terrible indeed from eyes of-Cynna rays flashed*
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
*hundred and in-circle heads of-flatterers about-to-wail licked*
περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν
*around the head voice and he-had*
χαράδρας ὄλεθρον τετοκυίας,
*of-torrent destruction having-borne*
φώκης δ' ὀσμήν, Λαμίας ὄρχεις ἀπλύτους,
*of-seal and smell of-Lamia balls unwashed*
πρωκτὸν δὲ καμήλου.
*ass and of-camel*
τοιοῦτον ἰδὼν τέρας οὔ φησιν δείσας καταδωροδοκῆσαι,
*such seeing portent not he-says fearing to-have-taken-bribes*
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ· φησίν τε μετ' αὐτὸν
*but for you still even now he-wars he-says and after him*
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν καὶ τοῖς πυρετοῖσιν,
*the agues to-have-attacked last-year and the fevers*
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ
*who the fathers both choked by-night*
καὶ τοὺς πάππους ἀπέπνιγον,
*and the grandfathers strangled*

κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις
*lying-down and upon the beds*
ἐπὶ τοῖσιν ἀπράγμοσιν ὑμῶν
*upon the unbusy of-you*
ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας συνεκόλλων,
*affidavits and summonses and testimonies glued-together*
ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν πολέμαρχον.
*so-that to-leap-up terrified many to the polemarch*
τοιόνδ' εὑρόντες ἀλεξίκακον τῆς χώρας τῆσδε καθαρτήν,
*such having-found averter-of-evil of-the land this purifier*
πέρυσιν καταπροὔδοτε καινοτάταις σπείραντ' αὐτὸν διανοίαις,
*last-year you-betrayed with-newest sowing him ideas*
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀναλδεῖς·
*which by the not to-understand clearly you made fruitless*
καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον
*and-yet pouring-libations much on much he-swears-by — Dionysus*
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.
*not ever better words than-these comic any to-have-heard*
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν
*this indeed then is for-you shameful*
τοῖς μὴ γνοῦσιν παραχρῆμα,
*for-the not having-understood at-once*
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται,
*the and poet nothing worse among the wise is-thought*
εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέτριψεν.
*if driving-past the rivals the conception he-smashed*
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν
*but the in-future of-the poets*
ὦ δαιμόνιοι τοὺς ζητοῦντας
*O strange-ones those seeking*

καινόν τι λέγειν κἀξευρίσκειν
*new something to-say and-to-invent*
στέργετε μᾶλλον καὶ θεραπεύετε,
*love more and tend*
καὶ τὰ νοήματα σῴζεσθ' αὐτῶν,
*and the thoughts keep of-them*
ἐσβάλλετέ τ' ἐς τὰς κιβωτοὺς
*throw and into the chests*
μετὰ τῶν μήλων. κἂν ταῦτα ποιῆθ',
*with the apples and-if this you-do*
ὑμῖν δι' ἔτους τῶν ἱματίων
*for-you through year of-the cloaks*
ὀζήσει δεξιότητος.
*will-smell of-cleverness*
ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
*O long-ago once being we valiant indeed in choruses*
ἄλκιμοι δ' ἐν μάχαις,
*valiant and in battles*
καὶ κατ' αὐτὸ δὴ τοῦτο μόνον ἄνδρες ἀλκιμώτατοι·
*and in itself indeed this alone men most-valiant*
πρίν ποτ' ἦν πρὶν ταῦτα, νῦν δ'
*before once it-was before these now and*
οἴχεται, κύκνου τ' ἔτι πολιώτεραι δὴ
*are-gone of-swan and still grayer indeed*
αἵδ' ἐπανθοῦσιν τρίχες.
*these blossom-on hairs*
ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ
*but even-from the remnants one-must*
τῶνδε ῥώμην νεανικὴν σχεῖν·
*of-these strength youthful to-have*

ὡς ἐγὼ τοὐμὸν νομίζω
*since I the-my think*
γῆρας εἶναι κρεῖττον ἢ πολλῶν
*old-age to-be better than of-many*
κικίννους νεανιῶν καὶ
*curls of-youths and*
σχῆμα κεὐρυπρωκτίαν.
*style and-wide-assedness*
εἴ τις ὑμῶν ὦ θεαταὶ τὴν ἐμὴν ἰδὼν φύσιν
*if anyone of-you O spectators the my seeing nature*
εἶτα θαυμάζει μ᾽ ὁρῶν μέσον διεσφηκωμένον,
*then wonders me seeing in-the-middle wasp-waisted*
ἥτις ἡμῶν ἐστὶν ἡ ᾽πίνοια τῆς ἐγκεντρίδος,
*what our is the meaning of-the sting*
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
*easily I will-teach even-if unmusical he-was the before*
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρροπύγιον,
*we-are we to-whom is-attached this the-rump*
Ἀττικοὶ μόνοι δικαίως ἐγγενεῖς αὐτόχθονες,
*Attic alone justly native-born sprung-from-the-soil*
ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
*most-manly race and most this the city*
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ᾽ ἦλθ᾽ ὁ βάρβαρος,
*having-helped in battles when came the barbarian*
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρπολῶν,
*with-the smoke smoking all the city and burning*
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
*to-take our desiring by force the-nests*
εὐθέως γὰρ ἐκδραμόντες ξὺν δορὶ ξὺν ἀσπίδι
*at-once for running-out with spear with shield*

ἐμαχόμεσθ᾽ αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
*we-fought them spirit sharp having-drunk*
στὰς ἀνὴρ παρ᾽ ἄνδρ᾽, ὑπ᾽ ὀργῆς τὴν χελύνην ἐσθίων·
*standing man beside man from anger the lip eating*
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
*by and the arrows not it-was-possible to-see the sky*
ἀλλ᾽ ὅμως ἐωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέραν.
*but nevertheless we-thrust-back with gods toward evening*
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτετο·
*owl for our before fighting the army flew-through*
εἶτα δ᾽ εἰπόμεσθα θυννάζοντες ἐς τοὺς θυλάκους,
*then and we-followed tunny-spearing into the trousers*
οἱ δ᾽ ἔφευγον τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
*they and fled the jaws and the brows being-stung*
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
*so-that among the barbarians everywhere and now still*
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.
*nothing than-Attic to-be-called wasp more-manly*
ἆρα δεινὸς ἦ τόθ᾽ ὥστε πάντα μὴ δεδοικέναι,
*— terrible was-I then so-that all-things not to-fear*
καὶ κατεστρεψάμην
*and I-overthrew*
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν;
*the opponents sailing there with-the triremes*
οὐ γὰρ ἦν ἡμῖν ὅπως
*not for was for-us how*
ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ᾽, οὐδὲ
*speech well to-speak we-were-going then nor*
συκοφαντήσειν τινὰ
*to-inform-against anyone*

φροντίς, ἀλλ᾽ ὅστις ἐρέτης ἔσοιτ᾽
*thought but who rower would-be*
ἄριστος. τοιγαροῦν πολλὰς
*best therefore many*
πόλεις Μήδων ἑλόντες
*cities of-Medes having-taken*
αἰτιώτατοι φέρεσθαι
*most-responsible to-be-brought*
τὸν φόρον δεῦρ᾽ ἐσμέν, ὃν κλέπτουσιν
*the tribute here we-are which steal*
οἱ νεώτεροι.
*the younger*
πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ᾽ εὑρήσετε
*in-many-ways looking-at us in all you-will-find*
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεστάτους.
*the ways and the life to-wasps most-alike*
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῷον ἠρεθισμένον
*first indeed for no than-us creature provoked*
μᾶλλον ὀξύθυμόν ἐστιν οὐδὲ δυσκολώτερον·
*more sharp-tempered is nor more-peevish*
εἶτα τἄλλ᾽ ὅμοια πάντα σφηξὶ μηχανώμεθα.
*then the-rest like all to-wasps we-contrive*
ξυλλεγέντες γὰρ καθ᾽ ἑσμούς, ὡσπερεὶ τἀνθρήνια,
*gathered for in swarms as-if the-nests*
οἱ μὲν ἡμῶν οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺς ἕνδεκα,
*the indeed of-us where-indeed the-archon the and by the Eleven*
οἱ δ᾽ ἐν ᾠδείῳ δικάζουσ᾽, οἱ δὲ πρὸς τοῖς τειχίοις
*the and in Odeum judge the and at the walls*
ξυμβεβυσμένοι πυκνόν, νεύοντες ἐς τὴν γῆν, μόλις
*crammed-together thick nodding to the ground hardly*

ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.
*like the grubs in the cells moving*
ἔς τε τὴν ἄλλην δίαιτάν ἐσμεν εὐπορώτατοι.
*into and the other life we-are most-resourceful*
πάντα γὰρ κεντοῦμεν ἄνδρα κἀκπορίζομεν βίον.
*every for we-sting man and-provide livelihood*
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι
*but for drones to-us are sitting-in*
οὐκ ἔχοντες κέντρον, οἳ μένοντες ἡμῶν τοῦ φόρου
*not having sting who staying of-our the tribute*
τὸν πόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
*the toil eat-up not toiling*
τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
*this and is most-painful to-us if someone unsoldiering being*
ἐκροφῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
*gulps-down the pay our this the land for*
μήτε κώπην μήτε λόγχην μήτε φλύκταιναν λαβών.
*neither oar nor spear nor blister having-got*
ἀλλ' ἐμοὶ δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἔμβραχυ
*but to-me it-seems the in-future of-the citizens in-short*
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον.
*whoever — not has the sting not to-get three-obols*

*Bdelycleon dresses his father in a Persian cloak and Laconian shoes and teaches him to walk, talk, recline, and take up drinking songs like a gentleman. Philocleon tells the wrong stories, about Lamia and mice and weasels, and caps the songs with jibes at Cleon; he is told how a witty Aesopic tale can turn away a victim's anger, and they go off to dinner.*

ΦΙΛΟΚΛΕΩΝ οὔτοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
*surely-not ever living this will-I-take-off*
ἐπεὶ μόνος μ᾽ ἔσωσε παρατεταγμένον,
*since alone me it-saved drawn-up*
ὅθ᾽ ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.
*when the north-wind the great made-an-attack*
ΒΔΕΛΥΚΛΕΩΝ ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν. 1125
*good you-seem nothing to-desire to-experience*
ΦΙΛΟΚΛΕΩΝ μὰ τὸν Δί᾽ οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
*by — Zeus not for in-no-way to-me profitable*
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
*and for before with-small-fry filled*
ἀπέδωκ᾽ ὀφείλων τῷ κναφεῖ τριώβολον.
*I-paid-back owing to-the fuller three-obols*
ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ᾽ οὖν πεπειράσθω γ᾽, ἐπειδήπερ γ᾽ ἅπαξ
*but then let-it-be-tried at-least since-indeed at-least once*
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν. 1130
*to-me yourself you-have-handed-over well to-treat*

ΦΙΛΟΚΛΕΩΝ τί οὖν κελεύεις δρᾶν με;
*what then do-you-bid to-do me*
ΒΔΕΛΥΚΛΕΩΝ τὸν τρίβων' ἄφες,
*the little-cloak let-go*
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
*this-here and cloak throw-on little-cloak-wise*
ΦΙΛΟΚΛΕΩΝ ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
*then children one-ought to-beget and to-rear*
ὅθ' οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
*when this-here me now to-choke wishes*
ΒΔΕΛΥΚΛΕΩΝ ἔχ' ἀναβαλοῦ τηνδὶ λαβὼν καὶ μὴ λάλει.
*here throw-on this-here having-taken and not chatter*
ΦΙΛΟΚΛΕΩΝ τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;
*this-here the evil what is-it by all gods*
ΒΔΕΛΥΚΛΕΩΝ οἱ μὲν καλοῦσι Περσίδ' οἱ δὲ καυνάκην.
*some indeed call-it Persian others and kaunakes*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ δὲ σισύραν ᾠόμην Θυμαιτίδα.
*I and blanket thought Thymaetian*
ΒΔΕΛΥΚΛΕΩΝ κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
*and-not wonder at-least to Sardis for not you-have-gone*
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις. ΦΙΛΟΚΛΕΩΝ ἐγώ;
*you-would-have-known for — now and not you-know I*
μὰ τὸν Δί' οὐ τοίνυν· ἀτὰρ δοκεῖ γέ μοι
*by — Zeus not well-then but it-seems at-least to-me*
ἐοικέναι μάλιστα Μορύχου σάγματι.
*to-be-like most of-Morychus pack-cover*
ΒΔΕΛΥΚΛΕΩΝ οὔκ, ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.
*no but in Ecbatana these are-woven*
ΦΙΛΟΚΛΕΩΝ ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
*in Ecbatana grows of-woof tripe*

ΒΔΕΛΥΚΛΕΩΝ πόθεν ὦγάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
*whence good-sir but this by-the barbarians*
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
*is-woven with-much expense this at-least surely*
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
*of-wool talent has-swallowed easily*
ΦΙΛΟΚΛΕΩΝ οὔκουν ἐριώλην δῆτ' ἐχρῆν αὐτὴν καλεῖν
*not-then wool-whirlwind then ought it to-call*
δικαιότερον ἢ καυνάκην; ΒΔΕΛΥΚΛΕΩΝ ἔχ' ὦγαθέ,
*more-justly than kaunakes stand good-sir*
καὶ στῆθ' ἀναμπισχόμενος. ΦΙΛΟΚΛΕΩΝ οἴμοι δείλαιος·
*and stand putting-it-on ah-me wretched*
ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.
*how hot the foul something at-me she-belched*
ΒΔΕΛΥΚΛΕΩΝ οὐκ ἀναβαλεῖ;
*not will-you-throw-it-on*
ΦΙΛΟΚΛΕΩΝ μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ' ὦγαθέ,
*by Zeus not I-at-least but good-sir*
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε.
*if-indeed at-least necessity oven me put-around*
ΒΔΕΛΥΚΛΕΩΝ φέρ' ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.
*come but I you will-wrap you and then go*
ΦΙΛΟΚΛΕΩΝ παράθου γε μέντοι καὶ κρεάγραν.
*set-beside at-least however also flesh-hook*
ΒΔΕΛΥΚΛΕΩΝ τιὴ τί δή;
*why what indeed*
ΦΙΛΟΚΛΕΩΝ ἵν' ἐξέλῃς με πρὶν διερρυηκέναι.
*so-that you-may-take-out me before having-melted-away*

ΒΔΕΛΥΚΛΕΩΝ ἄγε νυν ὑπολύου τὰς καταράτους ἐμβάδας,
*come now take-off the accursed shoes*
τασδὶ δ' ἀνύσας †ὑπόδυθι† τὰς Λακωνικάς.
*these-here and quickly put-on the Laconians*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ γὰρ ἂν τλαίην ὑποδήσασθαί ποτε
*I for — could-bear to-put-on ever*
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;
*hostile from men hostile soles*
ΒΔΕΛΥΚΛΕΩΝ ἔνθες ποτ' ὦ τᾶν κἀπόβαιν' ἐρρωμένως
*put-in at-last O my-friend and-step-down vigorously*
ἐς τὴν Λακωνικὴν ἀνύσας. ΦΙΛΟΚΛΕΩΝ ἀδικεῖς γέ με
*into the Laconia quickly you-wrong at-least me*
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
*into the enemy-land landing the foot*
ΒΔΕΛΥΚΛΕΩΝ φέρε καὶ τὸν ἕτερον.
*come also the other*
ΦΙΛΟΚΛΕΩΝ μηδαμῶς τοῦτόν γ', ἐπεὶ
*by-no-means this at-least since*
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.
*very Sparta-hating of-it is one of-the toes*
ΒΔΕΛΥΚΛΕΩΝ οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
*not it-is beside these other*
ΦΙΛΟΚΛΕΩΝ κακοδαίμων ἐγώ,
*ill-starred I*
ὅστις ἐπὶ γήρως χίμετλον οὐδὲν λήψομαι.
*who in old-age chilblain none shall-get*
ΒΔΕΛΥΚΛΕΩΝ ἄνυσόν ποθ' ὑποδησάμενος· εἶτα πλουσίως
*quickly at-last having-put-on-shoes then richly*
ὡδὶ προβὰς τρυφερόν τι διασαλακώνισον.
*so stepping-forward pamperedly something swagger*

ΦΙΛΟΚΛΕΩΝ ἰδού. θεῶ τὸ σχῆμα, καὶ σκέψαι μ᾽ ὅτῳ
*look behold the posture and look-at me to-whom*
μάλιστ᾽ ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
*most I-am-like the walk of-the rich*
ΒΔΕΛΥΚΛΕΩΝ ὅτῳ; Δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.
*to-what to-boil garlic dressed-up*
ΦΙΛΟΚΛΕΩΝ καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
*and truly I-am-eager at-least to-wiggle-my-ass*
ΒΔΕΛΥΚΛΕΩΝ ἄγε νυν, ἐπιστήσει λόγους σεμνοὺς λέγειν
*come now will-you-know words grand to-speak*
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;
*men being-present learned and clever*
ΦΙΛΟΚΛΕΩΝ ἔγωγε. ΒΔΕΛΥΚΛΕΩΝ τίνα δῆτ᾽ ἂν λέγοις;
*I-at-least what then — would-you-say*
ΦΙΛΟΚΛΕΩΝ πολλοὺς πάνυ.
*many very*
πρῶτον μὲν ὡς ἡ Λάμι᾽ ἁλοῦσ᾽ ἐπέρδετο,
*first indeed how — Lamia caught farted*
ἔπειτα δ᾽ ὡς ὁ Καρδοπίων τὴν μητέρα.
*then and how — Cardopion the mother*
ΒΔΕΛΥΚΛΕΩΝ μή ᾽μοί γε μύθους, ἀλλὰ τῶν ἀνθρωπίνων,
*not to-me at-least fables but of-the human*
οἵους λέγομεν μάλιστα τοὺς κατ᾽ οἰκίαν.
*such-as we-speak most the at home*
ΦΙΛΟΚΛΕΩΝ ἐγῷδα τοίνυν τῶν γε πάνυ κατ᾽ οἰκίαν
*I-know well-then of-the at-least very at home*
ἐκεῖνον ὡς "οὕτω ποτ᾽ ἦν μῦς καὶ γαλῆ."
*that how so once there-was mouse and weasel*

ΒΔΕΛΥΚΛΕΩΝ ὦ σκαιὲ κἀπαίδευτε, Θεογένης ἔφη
*O clumsy and-uneducated Theogenes said*
τῷ κοπρολόγῳ καὶ ταῦτα λοιδορούμενος,
*to-the dung-collector and this abusing*
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσιν;
*mice and weasels are-you-going to-speak among men*
ΦΙΛΟΚΛΕΩΝ ποίους τινὰς δὲ χρὴ λέγειν;
*what-sort some and must-I to-speak*
ΒΔΕΛΥΚΛΕΩΝ μεγαλοπρεπεῖς,
*magnificent*
ὡς ξυνεθεώρεις Ἀνδροκλεῖ καὶ Κλεισθένει.
*how you-went-as-envoy-with Androcles and Cleisthenes*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῖ
*I and have-gone-as-envoy ever nowhere*
πλὴν ἐς Πάρον, καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
*except to Paros and this two obols drawing*
ΒΔΕΛΥΚΛΕΩΝ ἀλλ' οὖν λέγειν χρή σ' ὡς ἐμάχετό γ' αὐτίκα
*but then to-tell must you how fought at-least for-instance*
Ἐφουδίων παγκράτιον Ἀσκώνδᾳ καλῶς,
*Ephudion pancratium with-Ascondas well*
ἤδη γέρων ὢν καὶ πολιός, ἔχων δέ τοι
*already old being and gray having and surely*
πλευρὰν βαθυτάτην καὶ χέρας καὶ λαγόνα καὶ
*side very-deep and arms and flank and*
θώρακ' ἄριστον. ΦΙΛΟΚΛΕΩΝ παῦε παῦ', οὐδὲν λέγεις.
*breastplate best stop stop nothing you-say*
πῶς ἂν μαχέσαιτο παγκράτιον θώρακ' ἔχων;
*how — could-fight pancratium breastplate having*

ΒΔΕΛΥΚΛΕΩΝ οὕτω διηγεῖσθαι νομίζουσ᾽ οἱ σοφοί.
*so to-narrate are-accustomed the wise*
ἀλλ᾽ ἕτερον εἰπέ μοι· παρ᾽ ἀνδράσι ξένοις
*but another tell me among men strangers*
πίνων σεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖς
*drinking of-yourself what — to-tell you-think*
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;
*in youth deed most-manly*
ΦΙΛΟΚΛΕΩΝ ἐκεῖν᾽ ἐκεῖν᾽ ἀνδρειότατόν γε τῶν ἐμῶν, 1200
*that that most-manly at-least of-the mine*
ὅτ᾽ Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.
*when of-Ergasion the vine-props I-stole*
ΒΔΕΛΥΚΛΕΩΝ ἀπολεῖς με. ποίας χάρακας; ἀλλ᾽ ὡς ἢ κάπρον
*you-will-kill me what vine-props but how or boar*
ἐδιώκαθές ποτ᾽ ἢ λαγών, ἢ λαμπάδα
*you-chased once or hare or torch-race*
ἔδραμες, ἀνευρὼν ὅ τι νεανικώτατον.
*you-ran having-found what thing most-youthful*
ΦΙΛΟΚΛΕΩΝ ἐγῷδα τοίνυν τό γε νεανικώτατον· 1205
*I-know well-then the at-least most-youthful*
ὅτε τὸν δρομέα Φάυλλον ὢν βούπαις ἔτι
*when the runner Phayllus being big-boy still*
εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν.
*I-caught prosecuting for-slander by-votes two*
ΒΔΕΛΥΚΛΕΩΝ παῦ᾽· ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
*stop but here lying-down learn-besides*
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.
*convivial to-be and companionable*

ΦΙΛΟΚΛΕΩΝ πῶς οὖν κατακλινῶ; φράζ' ἀνύσας.
*how then shall-I-lie-down tell quickly*

ΒΔΕΛΥΚΛΕΩΝ εὐσχημόνως.
*gracefully*

ΦΙΛΟΚΛΕΩΝ ὠδὶ κελεύεις κατακλινῆναι; ΒΔΕΛΥΚΛΕΩΝ μηδαμῶς.
*so do-you-bid to-lie-down by-no-means*

ΦΙΛΟΚΛΕΩΝ πῶς δαί;
*how then*

ΒΔΕΛΥΚΛΕΩΝ τὰ γόνατ' ἔκτεινε καὶ γυμναστικῶς
*the knees stretch and athletically*

ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.
*supple pour yourself in the coverlets*

ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
*then praise some of-the bronzes*

ὀροφὴν θέασαι, κρεκάδι' αὐλῆς θαύμασον·
*ceiling behold tapestries of-the-hall admire*

ὕδωρ κατὰ χειρός· τὰς τραπέζας ἐσφέρειν·
*water over hands the tables to-bring-in*

δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν.
*we-dine we-have-washed already we-pour-libation*

ΦΙΛΟΚΛΕΩΝ πρὸς τῶν θεῶν ἐνύπνιον ἑστιώμεθα;
*by the gods dream we-are-feasting*

ΒΔΕΛΥΚΛΕΩΝ αὐλητρὶς ἐνεφύσησεν· οἱ δὲ συμπόται
*the-flute-girl has-blown the and drinking-mates*

εἰσὶν Θέωρος Αἰσχίνης Φᾶνος Κλέων,
*are Theorus Aeschines Phanus Cleon*

ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
*stranger some other at head of-Acestor*

τούτοις ξυνὼν τὰ σκόλι' ὅπως δέξει καλῶς.
*with-these being the drinking-songs how you-will-take-up well*

ΦΙΛΟΚΛΕΩΝ ἄληθες; ὡς οὐδεὶς Διακρίων δέξεται.
*really as none of-Diacrians will-take-up*
ΒΔΕΛΥΚΛΕΩΝ ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων,
*I will-know and indeed for am I Cleon*
ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξαι δὲ σύ.
*I-sing and first of-Harmodius take-up and you*
"οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις" —
*no-one ever man was-born in-Athens*
ΦΙΛΟΚΛΕΩΝ οὐχ οὕτω γε πανοῦργος οὐδὲ κλέπτης.
*not so at-least villain nor thief*
ΒΔΕΛΥΚΛΕΩΝ τουτὶ σὺ δράσεις; παραπολεῖ βοώμενος·
*this-here you will-do you-will-perish-besides being-shouted-down*
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν
*he-will-say for to-destroy you and to-ruin*
καὶ τῆσδε τῆς γῆς ἐξελᾶν. ΦΙΛΟΚΛΕΩΝ ἐγὼ δέ γε,
*and from-this the land to-drive-out I and at-least*
ἐὰν ἀπειλῇ, νὴ Δί' ἕτερ' ἀντᾴσομαι·
*if he-threatens by Zeus another I-will-sing-in-reply*
"ὦνθρωφ', οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος,
*O-man this the seeking the great power*
ἀντρέψεις ἔτι τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶς."
*you-will-overturn still the city she and is-on the-edge*
ΒΔΕΛΥΚΛΕΩΝ τί δ' ὅταν Θέωρος πρὸς ποδῶν κατακείμενος
*what and when Theorus at feet lying*
ᾄδῃ Κλέωνος λαβόμενος τῆς δεξιᾶς·
*sings of-Cleon having-taken the right*
" Ἀδμήτου λόγον ὦταῖρε μαθὼν τοὺς ἀγαθοὺς φίλει."
*of-Admetus story O-comrade having-learned the good love*

τούτῳ τί λέξεις σκόλιον; ΦΙΛΟΚΛΕΩΝ ᾠδικῶς ἐγώ.
*to-this what will-you-say drinking-song* *tunefully I*

"οὐκ ἔστιν ἀλωπεκίζειν,
*not it-is-possible to-play-the-fox*

οὐδ' ἀμφοτέροισι γίγνεσθαι φίλον."
*nor with-both to-be friend*

ΒΔΕΛΥΚΛΕΩΝ μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται,
*after this-one Aeschines the of-Sellus will-take-up*

ἀνὴρ σοφὸς καὶ μουσικός, κᾆτ' ᾄσεται·
*man wise and musical and-then he-will-sing*

"χρήματα καὶ βίον
*money and livelihood*

Κλειταγόρᾳ τε κἀμοὶ
*for-Cleitagoras and and-for-me*

μετὰ Θετταλῶν" —
*with Thessalians*

ΦΙΛΟΚΛΕΩΝ πολλὰ δὴ διεκόμπασας σὺ κἀγώ.
*many-things indeed boasted-of you and-I*

ΒΔΕΛΥΚΛΕΩΝ τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι·
*this-here indeed fairly you at-least understand*

ὅπως δ' ἐπὶ δεῖπνον ἐς Φιλοκτήμονος ἴμεν.
*how and to dinner to of-Philoctemon we-shall-go*

παῖ παῖ, τὸ δεῖπνον Χρυσὲ συσκεύαζε νῷν,
*boy boy the dinner Chrysus pack for-us-two*

ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου. ΦΙΛΟΚΛΕΩΝ μηδαμῶς.
*so-that also we-may-get-drunk after time by-no-means*

κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
*evil the to-drink from for wine comes*

καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν,
*both door-breaking and striking and pelting*

κἄπειτ᾽ ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης. 1255
*and-then to-pay money after hangover*

ΒΔΕΛΥΚΛΕΩΝ οὔκ, ἢν ξυνῇς γ᾽ ἀνδράσι καλοῖς τε κἀγαθοῖς.
*not if you-are-with at-least men fine both and-good*

ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα,
*either for they-beg-off the injured*

ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
*or story you-told yourself witty some*

Αἰσωπικὸν γέλοιον ἢ Συβαριτικόν,
*Aesopic joke or Sybaritic*

ὧν ἔμαθες ἐν τῷ συμποσίῳ· κᾆτ᾽ ἐς γέλων 1260
*of-which you-learned in the drinking-party and-then into laughter*

τὸ πρᾶγμ᾽ ἔτρεψας, ὥστ᾽ ἀφείς σ᾽ ἀποίχεται.
*the matter you-turned so-that letting-go you he-goes-away*

ΦΙΛΟΚΛΕΩΝ μαθητέον τἄρ᾽ ἐστὶ πολλοὺς τῶν λόγων,
*must-be-learned then is many of-the stories*

εἴπερ ἀποτείσω μηδέν, ἤν τι δρῶ κακόν.
*if-indeed I-shall-pay nothing if anything I-do bad*

ΒΔΕΛΥΚΛΕΩΝ ἄγε νυν ἴωμεν· μηδὲν ἡμᾶς ἰσχέτω.
*come now let-us-go nothing us let-hold-back*

*The chorus mocks the starving Amynias, who went as envoy to Pharsalus and kept company there with the Thessalian serfs, praises Automenes' three skilled sons, and recalls how the poet once seemed to make peace with Cleon, only to deceive him now.*

ΧΟΡΟΣ πολλάκις δὴ 'δοξ' ἐμαυτῷ δεξιὸς πεφυκέναι
*often indeed it-seemed to-myself clever to-be-by-nature*
καὶ σκαιὸς οὐδεπώποτε·
*and stupid never*
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον οὐκ τῶν Κρωβύλων,
*but Amynias the of-Sellus more the-one-from the Topknots*
οὗτος ὅν γ' ἐγώ ποτ' εἶδον ἀντὶ μήλου καὶ ῥοᾶς
*this whom at-least I once saw instead-of apple and pomegranate*
δειπνοῦντα μετὰ Λεωγόρου·
*dining with Leogoras*
πεινῇ γὰρ ᾗπερ Ἀντιφῶν·
*he-starves for like Antiphon*
ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ', εἶτ' ἐκεῖ
*but going-as-envoy for to Pharsalus he-went then there*
μόνος μόνοις
*alone with-the-alone*
τοῖς Πενέσταισι ξυνῆν τοῖς
*with-the Penestae he-consorted with-the*
Θετταλῶν, αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός.
*of-Thessalians himself poor-serf being less than-none*
ὦ μακάρι' Αὐτόμενες ὥς σε μακαρίζομεν,
*O blessed Automenes how you we-call-blessed*
παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους·
*sons you-begot because most-skilled-with-the-hand*

πρῶτα μὲν ἅπασι φίλον ἄνδρα τε σοφώτατον,
*first indeed to-all dear man and most-wise*
τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο·
*the most-lyre-singing whom grace followed*
τὸν δ' ὑποκριτὴν ἕτερον ἀργαλέον ὡς σοφόν·
*the and actor other painfully how wise*
εἶτ' Ἀριφράδην πολύ τι θυμοσοφικώτατον,
*then Ariphrades much somewhat most-spirit-wise*
ὅντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενός,
*whom once he-swore having-learned from no-one*
ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθεῖν
*but from wise nature of-his-own-accord to-have-learned*
γλωττοποιεῖν ἐς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε.
*to-tongue-work into the brothels going-in each-time*

***

*(lacuna)*

εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην,
*there-are some who me said that I-was-reconciled*
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος
*when Cleon me harassed pressing-upon*
†καί με κακίσταις† ἔκνισε· κᾆθ' ὅτ' ἀπεδειρόμην,
*and me with-worst stung and-then when I-was-being-flayed*
οὐκτὸς ἐγέλων μέγα κεκραγότα θεώμενοι,
*the-outsiders laughed loud shouting watching*
οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι
*nothing then of-me caring as-much and only to-know*
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
*little-jest if-ever any squeezed I-would-throw-out*

ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκισα·
*these noticing under somewhat a-little I-played-the-ape*
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.
*then now deceived the vine-prop the vine*

## XIII · THE DRUNKEN OLD MAN

*Xanthias reports that Philocleon got drunk at the party, insulted the guests, and beat everyone on the way home. Philocleon arrives with a flute-girl he has stolen from the party, promises to buy her free when his son dies, and mocks his son. He insults a bread-woman whose loaves he spilled and a man he struck, answering each with tales of Aesop and Sybaris, until Bdelycleon carries him inside.*

ΞΑΝΘΙΑΣ ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος,
*oh tortoises blessed for-the shell*
καὶ τρὶς μακάριαι τοῦ 'πὶ ταῖς πλευραῖς τέγους.
*and thrice blessed for-the on the ribs roof*
ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς
*how well you-roofed-over and sensibly*
κεράμῳ τὸ νῶτον ὥστε τὰς πληγὰς στέγειν.
*with-tile the back so-as the blows to-keep-off*
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.
*I and am-ruined being-tattooed with-stick*
ΧΟΡΟΣ τί δ' ἔστιν ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων,
*what and is-it O boy boy for even-if he-be old*
καλεῖν δίκαιον ὅστις ἂν πληγὰς λάβῃ.
*to-call just whoever — blows gets*
ΞΑΝΘΙΑΣ οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν
*not for the old-man most-ruinous then was evil*
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
*and of-the company by-far most-drunken*

καίτοι παρῆν Ἵππυλλος Ἀντιφῶν Λύκων
*and-yet were-present Hippyllus Antiphon Lycon*
Λυσίστρατος Θούφραστος οἱ περὶ Φρύνιχον.
*Lysistratus Thouphrastus the about Phrynichus*
τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
*of-these all he-was most-insolent by-far*
εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν,
*at-once for as he-was-filled-with many and-good-things*
ἐνήλατ' ἐσκίρτα 'πεπόρδει κατεγέλα
*he-leaped he-skipped he-farted he-laughed*
ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον
*like with-barley little-donkey feasted*
κἄτυπτεν ἐμὲ νεανικῶς "παῖ παῖ" καλῶν.
*and-he-beat me youthfully boy boy calling*
εἶτ' αὐτὸν ὡς εἶδ' ᾤκασεν Λυσίστρατος·
*then him when saw likened Lysistratus*
"ἔοικας ὦ πρεσβῦτα νεοπλούτῳ τρυγὶ
*you-are-like O old-man new-rich lees*
κλητῆρί τ' εἰς ἀχυρμὸν ἀποδεδρακότι."
*to-summons-server and into chaff run-off*
ὁ δ' ἀνακραγὼν ἀντῄκασ' αὐτὸν πάρνοπι
*he and shouting-back likened-in-return him to-locust*
τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι,
*the leaves of-the cloak having-thrown-off*
Σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.
*to-Sthenelus and the gear shorn-off*
οἱ δ' ἀνεκρότησαν, πλήν γε Θουφράστου μόνου·
*they and applauded except at-least Thouphrastus alone*
οὗτος δὲ διεμύλλαινεν ὡς δὴ δεξιός.
*this-one and pulled-a-face as indeed clever*

ὁ γέρων δὲ τὸν Θούφραστον ἤρετ'· "εἰπέ μοι,
*the old-man and — Thouphrastus asked tell me*
ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ,
*on what do-you-give-yourself-airs and elegant to-be pretend*
κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί;"
*mocking-flatterer around the well doing always*
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει,
*such-things he-insulted them in turn*
σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων
*jeering rustically and besides words saying*
ἀμαθέστατ' οὐδὲν εἰκότας τῷ πράγματι.
*most-stupid nothing like to-the matter*
ἔπειτ' ἐπειδὴ 'μέθυεν, οἴκαδ' ἔρχεται
*then when he-was-drunk home he-comes*
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχῃ.
*striking all if any him meets*
ὁδὶ δὲ καὶ δὴ σφαλλόμενος προσέρχεται.
*this-here and and indeed staggering approaches*
ἀλλ' ἐκποδὼν ἄπειμι πρὶν πληγὰς λαβεῖν.
*but out-of-the-way I-will-go before blows to-get*
ΦΙΛΟΚΛΕΩΝ ἄνεχε πάρεχε·
*hold-up make-way*
κλαύσεταί τις τῶν ὄπισθεν
*will-weep someone of-the behind*
ἐπακολουθούντων ἐμοί·
*following me*
οἷον, εἰ μὴ 'ρρήσεθ', ὑμᾶς
*how if not you-are-off you*
ὦ πόνηροι ταυτῃὶ τῇ
*O wretches with-this-here the*

δᾳδὶ φρυκτοὺς σκευάσω.
*torch roast-barley I-will-make*

ΞΥΜΠΟΤΗΣ ΤΙΣ ἦ μὴν σὺ δώσεις αὖριον τούτων δίκην
*truly indeed you will-pay tomorrow for-these penalty*

ἡμῖν ἅπασι, κεἰ σφόδρ' εἶ νεανίας.
*to-us all even-if very you-are young*

ἀθρόοι γὰρ ἥξομέν σε προσκαλούμενοι.
*in-a-crowd for we-will-come you summoning*

ΦΙΛΟΚΛΕΩΝ ἰὴ ἰεῦ, καλούμενοι. 1335
*ie ieu summoning*

ἀρχαῖά γ' ὑμῶν· ἆρά γ' ἴσθ'
*old at-least yours — at-least know*

ὡς οὐδ' ἀκούων ἀνέχομαι
*that not-even hearing I-endure*

δικῶν; ἰαιβοῖ, αἰβοῖ.
*of-suits ugh ugh*

τάδε μ' ἀρέσκει· βάλλε κημούς.
*these me please throw voting-funnels*

οὐκ ἄπεισι; ποῦ 'στιν ἡμῖν 1340
*not will-he-go-away where is for-us*

ἡλιαστής; ἐκποδών.
*juror out-of-the-way*

ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον,
*climb-up here little-golden-cockchafer*

τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου.
*with-the hand this-here taking-hold-of the rope*

ἔχου· φυλάττου δ', ὡς σαπρὸν τὸ σχοινίον·
*hold-on take-care and since rotten the rope*

ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
*nevertheless at-least however being-rubbed not it-is-vexed*

ὁρᾷς ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην
*you-see I you how cleverly stole*
μέλλουσαν ἤδη λεσβιᾶν τοὺς ξυμπότας·
*about-to now to-Lesbianize the drinking-mates*
ὧν οὕνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
*which for-the-sake give-back to-the cock this-here favor*
ἀλλ' οὐκ ἀποδώσεις οὐδ' ἐφιαλεῖς οἶδ' ὅτι,
*but not you-will-give-back nor you-will-ride I-know that*
ἀλλ' ἐξαπατήσεις κἀγχανεῖ τούτῳ μέγα·
*but you-will-deceive and-will-gape-at this-one greatly*
πολλοῖς γὰρ ἤδη χἀτέροις αὖτ' ἠργάσω.
*many for already and-others it you-did*
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνή,
*if you-become and not bad now woman*
ἐγώ σ' ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,
*I you when the-my son dies*
λυσάμενος ἕξω παλλακὴν ὦ χοιρίον.
*having-bought-free will-have as-concubine O piggy*
νῦν δ' οὐ κρατῶ 'γὼ τῶν ἐμαυτοῦ χρημάτων
*now and not have-control I of-the my-own property*
νέος γάρ εἰμι καὶ φυλάττομαι σφόδρα.
*young for I-am and am-guarded very*
τὸ γὰρ υἱδιον τηρεῖ με, κἄστι δύσκολον
*the for little-son watches me and-is peevish*
κἄλλως κυμινοπριστοκαρδαμογλύφον.
*and-otherwise cummin-splitting-cress-scraping*
ταῦτ' οὖν περί μου δέδοικε μὴ διαφθαρῶ.
*these then about me he-fears lest I-be-ruined*
πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ πλὴν ἐμοῦ.
*father for none is to-him except me*

ὁδὶ δὲ καὐτὸς ἐπὶ σὲ κἄμ᾽ ἔοικε θεῖν. 1360
*this-here and and-himself at you and-me seems to-run*
ἀλλ᾽ ὡς τάχιστα στῆθι τάσδε τὰς δετὰς
*but as quickly-as-possible stand these the torches*
λαβοῦσ᾽, ἵν᾽ αὐτὸν τωθάσω νεανικῶς,
*taking so-that him I-may-mock youthfully*
οἵοις ποθ᾽ οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.
*with-what-things once this-one me before the mysteries*
ΒΔΕΛΥΚΛΕΩΝ ὦ οὗτος οὗτος τυφεδανὲ καὶ χοιρόθλιψ,
*O you you blockhead and pig-squeezer*
ποθεῖν ἐρᾶν τ᾽ ἔοικας ὡραίας σοροῦ. 1365
*to-long-for to-love and you-seem ripe coffin*
οὔτοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.
*surely-not you-will-get-off by — Apollo this doing*
ΦΙΛΟΚΛΕΩΝ ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.
*how gladly you-would-eat — from vinegar suit*
ΒΔΕΛΥΚΛΕΩΝ οὐ δεινὰ τωθάζειν σε τὴν αὐλητρίδα
*not terrible to-mock you the flute-girl*
τῶν ξυμποτῶν κλέψαντα; ΦΙΛΟΚΛΕΩΝ ποίαν αὐλητρίδα;
*from-the drinking-mates having-stolen what flute-girl*
τί ταῦτα ληρεῖς ὥσπερ ἀπὸ τύμβου πεσών; 1370
*why these do-you-babble as-if from tomb having-fallen*
ΒΔΕΛΥΚΛΕΩΝ νὴ τὸν Δί᾽ αὕτη πού ᾽στί σοί γ᾽ ἡ Δαρδανίς.
*by — Zeus this surely is to-you at-least the Dardanian*
ΦΙΛΟΚΛΕΩΝ οὔκ, ἀλλ᾽ ἐν ἀγορᾷ τοῖς θεοῖς δᾳὰς κάεται.
*no but in market for-the gods torch burns*
ΒΔΕΛΥΚΛΕΩΝ δᾳὰς ἥδε; ΦΙΛΟΚΛΕΩΝ δᾳὰς δῆτ᾽. οὐχ ὁρᾷς ἐστιγμένην;
*torch this torch then not you-see branded*
ΒΔΕΛΥΚΛΕΩΝ τί δὲ τὸ μέλαν τοῦτ᾽ ἐστὶν αὐτῆς τοὐν μέσῳ;
*what and the black this is of-her the-in middle*

ΦΙΛΟΚΛΕΩΝ ἡ πίττα δήπου καομένης ἐξέρχεται.
*the pitch surely burning comes-out*

ΒΔΕΛΥΚΛΕΩΝ ὁ δ' ὄπισθεν οὐχὶ πρωκτός ἐστιν οὑτοσί;
*the and behind not ass is this-here*

ΦΙΛΟΚΛΕΩΝ ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.
*knot indeed rather of-the torch this sticks-out*

ΒΔΕΛΥΚΛΕΩΝ τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;
*what say you what knot not will-you-come here you*

ΦΙΛΟΚΛΕΩΝ ἆ ἆ τί μέλλεις δρᾶν;
*ah ah what do-you-mean to-do*

ΒΔΕΛΥΚΛΕΩΝ ἄγειν ταύτην λαβών
*to-lead this-one having-taken*

ἀφελόμενός σε καὶ νομίσας εἶναι σαπρὸν
*having-taken-away from-you and thinking to-be rotten*

κοὐδὲν δύνασθαι δρᾶν. ΦΙΛΟΚΛΕΩΝ ἄκουσόν νυν ἐμοῦ.
*and-nothing able to-do hear now me*

Ὀλυμπίασιν, ἡνίκ' ἐθεώρουν ἐγώ,
*at-Olympia when was-envoy I*

Ἐφουδίων ἐμαχέσατ' Ἀσκώνδᾳ καλῶς
*Ephudion fought with-Ascondas well*

ἤδη γέρων ὤν· εἶτα τῇ πυγμῇ θενὼν
*already old being then with-the fist striking*

ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
*the older threw-down the younger*

πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
*to this guard-against lest you-get black-eyes*

ΒΔΕΛΥΚΛΕΩΝ νὴ τὸν Δί' ἐξέμαθές γε τὴν Ὀλυμπίαν.
*by — Zeus you-learned-thoroughly at-least — Olympia*

ΑΡΤΟΠΩΛΙΣ ἴθι μοι παράστηθ', ἀντιβολῶ πρὸς τῶν θεῶν.
*come for-me stand-by I-beg by the gods*
ὁδὶ γὰρ ἀνήρ ἐστιν ὅς μ' ἀπώλεσεν
*this for the-man is who me ruined*
τῇ δᾳδὶ παίων, κἀξέβαλεν ἐντευθενὶ 1390
*with-the torch striking and-knocked-out from-here*
ἄρτους δέκ' ὀβολῶν κἀπιθήκην τέτταρας.
*loaves ten obols' and-on-top four*
ΒΔΕΛΥΚΛΕΩΝ ὁρᾷς ἃ δέδρακας; πράγματ' αὖ δεῖ καὶ δίκας
*you-see what you-have-done troubles again one-must and suits*
ἔχειν διὰ τὸν σὸν οἶνον. ΦΙΛΟΚΛΕΩΝ οὐδαμῶς γ', ἐπεὶ
*to-have because-of the your wine in-no-way at-least since*
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί·
*words will-settle them clever*
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι. 1395
*so-that I-know that this-woman I-shall-be-reconciled-with*
ΑΡΤΟΠΩΛΙΣ οὔτοι μὰ τὼ θεὼ καταπροίξει Μυρτίας
*surely-not by the two-goddesses you-will-get-off of-Myrtia*
τῆς Ἀγκυλίωνος θυγατέρος καὶ Σωστράτης,
*the of-Ancylion daughter and of-Sostrate*
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.
*so having-ruined of-me the wares*
ΦΙΛΟΚΛΕΩΝ ἄκουσον ὦ γύναι· λόγον σοι βούλομαι
*hear O woman story to-you I-wish*
λέξαι χαρίεντα. ΑΡΤΟΠΩΛΙΣ μὰ Δία μὴ 'μοί γ' ὦ μέλε. 1400
*to-tell charming by Zeus not to-me at-least O friend*
ΦΙΛΟΚΛΕΩΝ Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
*Aesop from dinner walking at-evening*
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
*bold and drunk some barked bitch*

κἄπειτ᾽ ἐκεῖνος εἶπεν, "ὦ κύον κύον,
*and-then he said O bitch bitch*
εἰ νὴ Δί᾽ ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
*if by Zeus instead-of the bad tongue from-somewhere*
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς."
*wheat you-should-buy to-be-sensible — to-me you-seem*
ΑΡΤΟΠΩΛΙΣ καὶ καταγελᾷς μου; προσκαλοῦμαί σ᾽ ὅστις εἶ
*and you-mock me I-summon you whoever you-are*
πρὸς τοὺς ἀγορανόμους βλάβης τῶν φορτίων,
*before the market-overseers for-damage of-the wares*
κλητῆρ᾽ ἔχουσα Χαιρεφῶντα τουτονί.
*as-witness having Chaerephon this-here*
ΦΙΛΟΚΛΕΩΝ μὰ Δί᾽ ἀλλ᾽ ἄκουσον, ἤν τί σοι δόξω λέγειν.
*by Zeus but hear if something to-you I-seem to-say*
Λᾶσός ποτ᾽ ἀντεδίδασκε καὶ Σιμωνίδης·
*Lasus once competed-with and Simonides*
ἔπειθ᾽ ὁ Λᾶσος εἶπεν, "ὀλίγον μοι μέλει."
*then — Lasus said little to-me it-matters*
ΑΡΤΟΠΩΛΙΣ ἄληθες οὗτος; ΦΙΛΟΚΛΕΩΝ καὶ σὺ δή μοι Χαιρεφῶν
*really you and you indeed to-me Chaerephon*
γυναικὶ †κλητεύειν ἐοικὼς† θαψίνῃ,
*to-woman to-be-witness resembling pale*
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.
*to-Ino hanging at feet of-Euripides*
ΒΔΕΛΥΚΛΕΩΝ ὁδί τις ἕτερος, ὡς ἔοικεν, ἔρχεται
*this-here someone other as it-seems comes*
καλούμενός σε· τόν γέ τοι κλητῆρ᾽ ἔχει.
*summoning you the at-least surely witness he-has*

ΚΑΤΗΓΟΡΟΣ οἴμοι κακοδαίμων. προσκαλοῦμαί σ' ὦ γέρον
*ah-me ill-starred I-summon you O old-man*
ὕβρεως. ΒΔΕΛΥΚΛΕΩΝ ὕβρεως; μὴ μὴ καλέσῃ πρὸς τῶν θεῶν·
*for-assault for-assault not not summon by the gods*
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί σοι
*I for for him penalty give to-you*
ἣν ἂν σὺ τάξῃς, καὶ χάριν προσείσομαι. 1420
*which — you set and thanks I-will-know-besides*
ΦΙΛΟΚΛΕΩΝ ἐγὼ μὲν οὖν αὐτῷ διαλλαχθήσομαι
*I indeed then with-him will-be-reconciled*
ἑκών· ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
*willingly I-admit for to-have-struck and to-have-pelted*
ἀλλ' ἐλθὲ δευρί· πότερον ἐπιτρέπεις ἐμοί,
*but come here whether do-you-entrust to-me*
ὅ τι χρή μ' ἀποτείσαντ' ἀργύριον τοῦ πράγματος
*what thing one-must me having-paid money for-the matter*
εἶναι φίλον τὸ λοιπόν, ἢ σύ μοι φράσεις; 1425
*to-be friend the in-future or you to-me will-tell*
ΚΑΤΗΓΟΡΟΣ σὺ λέγε. δικῶν γὰρ οὐ δέομ' οὐδὲ πραγμάτων.
*you speak of-suits for not I-need nor of-troubles*
ΦΙΛΟΚΛΕΩΝ ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
*man Sybarite fell-out from chariot*
καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα·
*and somehow broke the head greatly very*
ἐτύγχανεν γὰρ οὐ τρίβων ὢν ἱππικῆς.
*he-happened for not practiced being in-horsemanship*
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος· 1430
*and-then standing-by said man to-him friend*
"ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην."
*let-practice one which each knows art*

οὕτω δὲ καὶ σὺ παράτρεχ' ἐς τὰ Πιττάλου.
*so and also you run-off to the of-Pittalus*

ΒΔΕΛΥΚΛΕΩΝ ὅμοιά σου καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.
*like of-you also these to-the other ways*

ΚΑΤΗΓΟΡΟΣ ἀλλ' οὖν σὺ μέμνησ' αὐτὸς ἀπεκρίνατο.
*but then you remember himself what-he-answered*

ΦΙΛΟΚΛΕΩΝ ἄκουε, μὴ φεῦγ'. ἐν Συβάρει γυνή ποτε
*hear not flee in Sybaris woman once*

κατέαξ' ἐχῖνον. ΚΑΤΗΓΟΡΟΣ ταῦτ' ἐγὼ μαρτύρομαι.
*broke hedgehog-jar to-this I call-to-witness*

ΦΙΛΟΚΛΕΩΝ οὑχῖνος οὖν ἔχων τιν' ἐπεμαρτύρατο·
*the-jar then having someone called-to-witness*

εἶθ' ἡ Συβαρῖτις εἶπεν, "εἰ ναὶ τὰν κόραν
*then the Sybarite said if by the Maid*

τὴν μαρτυρίαν ταύτην ἐάσας ἐν τάχει
*the testimony this letting-go in haste*

ἐπίδεσμον ἐπρίω, νοῦν ἂν εἶχες πλείονα."
*bandage you-bought sense — you-would-have more*

ΚΑΤΗΓΟΡΟΣ ὕβριζ' ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.
*insult until — the suit the-archon calls*

ΒΔΕΛΥΚΛΕΩΝ οὔτοι μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθοῖ μενεῖς,
*surely-not by — Demeter still here will-you-stay*

ἀλλ' ἀράμενος οἴσω σε — ΦΙΛΟΚΛΕΩΝ τί ποιεῖς;
*but lifting I-will-carry you what are-you-doing*

ΒΔΕΛΥΚΛΕΩΝ ὅ τι ποιῶ;
*what thing I-do*

εἴσω φέρω σ' ἐντεῦθεν· εἰ δὲ μή, τάχα
*inside I-carry you from-here if and not quickly*

κλητῆρες ἐπιλείψουσι τοὺς καλουμένους.
*summons-servers will-fail the summoned*

ΦΙΛΟΚΛΕΩΝ Αἴσωπον οἱ Δελφοί ποτ' —
*Aesop the Delphians once*
ΒΔΕΛΥΚΛΕΩΝ ὀλίγον μοι μέλει.
*little to-me it-matters*
ΦΙΛΟΚΛΕΩΝ φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ·
*cup accused to-have-stolen of-the god*
ὁ δ' ἔλεξεν αὐτοῖς, ὡς ὁ κάνθαρός ποτε —
*he and told them how the beetle once*
ΒΔΕΛΥΚΛΕΩΝ οἴμ' ὡς ἀπολῶ σ' αὐτοῖσι τοῖσι κανθάροις.
*ah-me how I-will-destroy you together-with the beetles*

## XIV · A CHANGED MAN

*The chorus envies the old man his change of life, doubts that he can leave his nature though many have, and praises the son for his love of his father and his good sense.*

ΧΟΡΟΣ ζηλῶ γε τῆς εὐτυχίας 1450
*I-envy at-least for-the good-fortune*
τὸν πρέσβυν οἳ μετέστη
*the old-man how he-has-changed*
ξηρῶν τρόπων καὶ βιοτῆς·
*from-dry ways and life*
ἕτερα δὲ νῦν ἀντιμαθὼν
*other-things and now having-learned-instead*
ἦ μέγα τι μεταπεσεῖται
*truly great somewhat he-will-shift*
ἐπὶ τὸ τρυφῶν καὶ μαλακόν. 1455
*to the luxurious and soft*
τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι.
*soon and — perhaps not he-might-be-willing*

τὸ γὰρ ἀποστῆναι χαλεπὸν
*the for to-stand-away hard*
φύσεος, ἣν ἔχοι τις ἀεί.
*from-nature which may-have one always*
καίτοι πολλοὶ ταῦτ᾽ ἔπαθον·
*and-yet many this suffered*
ξυνόντες γνώμαις ἑτέρων
*associating-with with-the-views of-others*
μετεβάλοντο τοὺς τρόπους.
*they-changed the ways*
πολλοῦ δ᾽ ἐπαίνου παρ᾽ ἐμοὶ
*much and praise from me*
καὶ τοῖσιν εὖ φρονοῦσιν
*and from-those well thinking*
τυχὼν ἄπεισιν διὰ τὴν
*having-got he-will-go-off because-of the*
φιλοπατρίαν καὶ σοφίαν
*father-love and wisdom*
ὁ παῖς ὁ Φιλοκλέωνος.
*the son the of-Philocleon*
οὐδενὶ γὰρ οὕτως ἀγανῷ
*with-no-one for so gentle*
ξυνεγενόμην, οὐδὲ τρόποις
*I-associated nor for-ways*
ἐπεμάνην οὐδ᾽ ἐξεχύθην.
*I-was-mad-for nor poured-myself-out*
τί γὰρ ἐκεῖνος ἀντιλέγων
*what for he speaking-against*
οὐ κρείττων ἦν, βουλόμενος
*not better was wishing*

τὸν φύσαντα σεμνοτέροις
*the begetter with-grander*
κατακοσμῆσαι πράγμασιν;
*to-adorn affairs*

## XV · THE DANCING CONTEST

*Xanthias reports that the old man has danced all night the dances of Thespis' day. Philocleon comes out dancing and challenges any tragedian, and the three tiny sons of Carcinus answer.*

ΞΑΝΘΙΑΣ νὴ τὸν Διόνυσον ἄπορά γ' ἡμῖν πράγματα
*by — Dionysus baffling at-least to-us affairs*
δαίμων τις ἐσκεκύκληκεν ἐς τὴν οἰκίαν.
*god some has-rolled-in into the house*
ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
*the for old-man when he-drank after long time*
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
*heard and flute overjoyed at-the matter*
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται
*dancing of-the night not-at-all stops*
τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο·
*the-old-dances those with-which Thespis competed*
καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους
*and the tragedians he-says he-will-show Cronus-fogies*
τοὺς νῦν διορχησάμενος ὀλίγον ὕστερον.
*those now out-dancing little later*
ΦΙΛΟΚΛΕΩΝ τίς ἐπ' αὐλείοισι θύραις θάσσει;
*who at courtyard doors sits*

ΞΑΝΘΙΑΣ τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
*this-here and indeed advances the evil*

ΦΙΛΟΚΛΕΩΝ κλῇθρα χαλάσθω τάδε. καὶ δὴ γὰρ
*bolts let-be-loosed these and indeed for*

σχήματος ἀρχὴ —
*of-figure beginning*

ΞΑΝΘΙΑΣ μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
*rather and at-least perhaps of-madness beginning*

ΦΙΛΟΚΛΕΩΝ πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης·
*side having-twisted by strength*

οἷον μυκτὴρ μυκᾶται καὶ
*how nostril bellows and*

σφόνδυλος ἀχεῖ. ΞΑΝΘΙΑΣ πῖθ' ἑλλέβορον.
*vertebra clatters drink hellebore*

ΦΙΛΟΚΛΕΩΝ πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ —
*crouches Phrynichus like some cock*

ΞΑΝΘΙΑΣ τάχα βαλλήσεις.
*soon you-will-hit*

ΦΙΛΟΚΛΕΩΝ σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
*leg sky-high at-least kicking-out*

πρωκτὸς χάσκει. ΞΑΝΘΙΑΣ κατὰ σαυτὸν ὅρα.
*ass gapes by yourself look*

ΦΙΛΟΚΛΕΩΝ νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις
*now for in joints the our*

στρέφεται χαλαρὰ κοτυληδών.
*turns supple hip-socket*

οὐκ εὖ; ΒΔΕΛΥΚΛΕΩΝ μὰ Δί' οὐ δῆτ', ἀλλὰ μανικὰ πράγματα.
*not well by Zeus not then but mad affairs*

ΦΙΛΟΚΛΕΩΝ φέρε νυν ἀνείπω κἀνταγωνιστὰς καλῶ.
*come now let-me-proclaim and-competitors I-call*
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
*if any tragedian says to-dance well*
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
*with-me about-to-dance-it-out here let-him-come-in*
φησίν τις ἢ οὐδείς; ΞΑΝΘΙΑΣ εἷς γ' ἐκεινοσὶ μόνος. 1500
*says anyone or no-one one at-least that-one-there alone*
ΦΙΛΟΚΛΕΩΝ τίς ὁ κακοδαίμων ἐστίν; ΞΑΝΘΙΑΣ υἱὸς Καρκίνου
*who the ill-starred is-he son of-Carcinus*
ὁ μέσατος. ΦΙΛΟΚΛΕΩΝ ἀλλ' οὗτός γε καταποθήσεται·
*the middle but this-one at-least will-be-swallowed-up*
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
*I-will-destroy for him with-tune of-knuckle*
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ'. ΞΑΝΘΙΑΣ ἀλλ' ὠζυρὲ
*in the rhythm for nothing he-is but O-wretch*
ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται, 1505
*another tragedian Carcinite comes*
ἀδελφὸς αὐτοῦ. ΦΙΛΟΚΛΕΩΝ νὴ Δί' ὠψώνηκ' ἄρα.
*brother of-him by Zeus I-have-bought-fish then*
ΞΑΝΘΙΑΣ μὰ τὸν Δί' οὐδέν γ' ἄλλο πλήν γε καρκίνους·
*by — Zeus nothing at-least else except at-least crabs*
προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.
*approaches for another in-turn of-the of-Carcinus*
ΦΙΛΟΚΛΕΩΝ τουτὶ τί ἦν τὸ προσέρπον; ὀξὶς ἢ φάλαγξ;
*this-here what was-it the creeping-up vinegar-cruet or spider*
ΞΑΝΘΙΑΣ ὁ πινοτήρης οὗτός ἐστι τοῦ γένους, 1510
*the pinna-guard this is of-the family*
ὁ σμικρότατος, ὃς τὴν τραγῳδίαν ποιεῖ.
*the smallest who the tragedy composes*

ΦΙΛΟΚΛΕΩΝ ὦ Καρκίν' ὦ μακάριε τῆς εὐπαιδίας,
*O Carcinus O blessed for-the fine-offspring*
ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.
*how-great the crowd swooped-down of-the wrens*
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτούς μ'· ὠζυρέ,
*but must-go-down at-least against them me O-wretch*
ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.
*brine stir for-these if I win*

## XVI · EXODUS

*The chorus makes room for the dancers, urges the crab-sons of the sea god to spin and kick, and asks them to lead the chorus out dancing.*

ΧΟΡΟΣ φέρε νυν ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
*come now we for-them a-little let-us-give-way all*
ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.
*so-that in quiet of-us before they-may-whirl themselves*
ἄγ' ὦ μεγαλώνυμα τέκνα
*come O great-named children*
τοῦ θαλασσίου θεοῦ,
*of-the of-the-sea god*
πηδᾶτε παρὰ ψάμαθον
*leap along sand*
καὶ θῖν' ἁλὸς ἀτρυγέτου,
*and shore of-sea barren*
καρίδων ἀδελφοί·
*of-shrimps brothers*
ταχὺν πόδα κυκλοσοβεῖτε,
*swift foot whirl-around*

καὶ τὸ Φρυνίχειον
*and the Phrynichean*
ἐκλακτισάτω τις, ὅπως
*let-kick-out someone so-that*
ἰδόντες ἄνω σκέλος ὤζωσιν
*seeing up leg may-cry-oh*
οἱ θεαταί.
*the spectators*
στρόβει, παράβαινε κύκλῳ καὶ γάστρισον σεαυτόν,
*twist pass-by in-circle and belly-punch yourself*
ῥῖπτε σκέλος οὐράνιον· βέμβικες ἐγγενέσθων.
*fling leg sky-high tops let-there-be*
καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει
*and-himself for the sea-ruling lord father creeps-forward*
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ τοῖς τριόρχοις.
*delighted at the his-own sons the buzzard-balled*
ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
*but lead-out if at-all you-love dancing out-of-doors*
ἡμᾶς ταχύ· τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
*us quickly this for no-one yet before has-done*
ὀρχούμενον ὅστις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.
*dancing who dismissed chorus of-comedians*

ARISTOPHANES

# ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ

*The Thesmophoriazusae*

*Euripides brings his old kinsman to the house of the tragedian Agathon, explaining that the women at the Thesmophoria will decide today whether he lives or dies for slandering them. Agathon is wheeled out singing effeminately, explains that a poet must take on the nature of his characters, and refuses to go among the women himself. Euripides shaves and singes the kinsman, Agathon lends him a gown, and the old man makes Euripides swear to rescue him if he comes to harm, then goes in disguise to the festival.*

ΜΝΗΣΙΛΟΧΟΣ ὦ Ζεῦ χελιδὼν ἆρά ποτε φανήσεται;
*O Zeus swallow — ever will-appear*
ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.
*will-kill me threshing the-man from early-dawn*
οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν,
*possible — before the spleen utterly me to-throw-out*
παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις ὦὐριπίδη;
*from you to-learn where me you-lead O-Euripides*
ΕΥΡΙΠΙΔΗΣ ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅσ' αὐτίκα 5
*but not to-hear must you all-things as-many-as at-once*
ὄψει παρεστώς. ΜΝΗΣΙΛΟΧΟΣ πῶς λέγεις; αὖθις φράσον.
*you-will-see standing-by how say-you again tell*
οὐ δεῖ μ' ἀκούειν; ΕΥΡΙΠΙΔΗΣ οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.
*not must me to-hear not what at-least — you-are-about to-see*
ΜΝΗΣΙΛΟΧΟΣ οὐδ' ἆρ' ὁρᾶν δεῖ μ';
*nor then to-see must me*
ΕΥΡΙΠΙΔΗΣ οὐχ ἅ γ' ἂν ἀκούειν δέῃ.
*not what at-least — to-hear it-be-needful*

ΜΝΗΣΙΛΟΧΟΣ πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
*how to-me do-you-advise cleverly however you-speak*

οὐ φῂς σὺ χρῆναί μ᾽ οὔτ᾽ ἀκούειν οὔθ᾽ ὁρᾶν;
*not say you one-ought me neither to-hear nor to-see*

ΕΥΡΙΠΙΔΗΣ χωρὶς γὰρ αὐτοῖν ἑκατέρου ᾽στὶν ἡ φύσις.
*separate for of-them of-each is the nature*

ΜΝΗΣΙΛΟΧΟΣ τοῦ μήτ᾽ ἀκούειν μήθ᾽ ὁρᾶν; ΕΥΡΙΠΙΔΗΣ εὖ ἴσθ᾽ ὅτι.
*of-the neither to-hear nor to-see well know that*

ΜΝΗΣΙΛΟΧΟΣ πῶς χωρίς; ΕΥΡΙΠΙΔΗΣ οὕτω ταῦτα διεκρίθη τότε.
*how separate so these were-distinguished then*

αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο
*aether for when the first was-being-separated*

καὶ ζῷ᾽ ἐν αὑτῷ ξυνετέκνου κινούμενα,
*and creatures in himself begot moving*

ᾧ μὲν βλέπειν χρὴ πρῶτ᾽ ἐμηχανήσατο
*with-which indeed to-see one-must first he-contrived*

ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
*eye imitating of-sun wheel*

ἀκοῇ δὲ χοάνην ὦτα διετετρήνατο.
*for-hearing and funnel ears he-bored-through*

ΜΝΗΣΙΛΟΧΟΣ διὰ τὴν χοάνην οὖν μήτ᾽ ἀκούω μήθ᾽ ὁρῶ;
*because-of the funnel then neither I-hear nor I-see*

νὴ τὸν Δί᾽ ἥδομαί γε τουτὶ προσμαθών.
*by — Zeus I-am-pleased at-least this-here learning-besides*

οἷόν γέ που ᾽στιν αἱ σοφαὶ ξυνουσίαι.
*how-great at-least surely are the wise conversations*

ΕΥΡΙΠΙΔΗΣ πόλλ᾽ ἂν μάθοις τοιαῦτα παρ᾽ ἐμοῦ.
*many-things — you-might-learn such from me*
ΜΝΗΣΙΛΟΧΟΣ πῶς ἂν οὖν
*how — then*
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροιμ᾽ ὅπως
*besides the goods these could-I-find how*
ἔτι προσμάθοιμι χωλὸς εἶναι τὼ σκέλει;
*still I-might-learn-besides lame to-be in-the two-legs*
ΕΥΡΙΠΙΔΗΣ βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν. ΜΝΗΣΙΛΟΧΟΣ ἰδού.
*walk here and attend the mind look*
ΕΥΡΙΠΙΔΗΣ ὁρᾷς τὸ θύριον τοῦτο; ΜΝΗΣΙΛΟΧΟΣ νὴ τὸν Ἡρακλέα
*you-see the little-door this by — Heracles*
οἶμαί γε. ΕΥΡΙΠΙΔΗΣ σίγα νυν. ΜΝΗΣΙΛΟΧΟΣ σιωπῶ τὸ θύριον;
*I-think at-least silence now I-am-silent-at the little-door*
ΕΥΡΙΠΙΔΗΣ ἄκου᾽. ΜΝΗΣΙΛΟΧΟΣ ἀκούω καὶ σιωπῶ τὸ θύριον;
*hear I-hear and I-am-silent-at the little-door*
ΕΥΡΙΠΙΔΗΣ ἐνταῦθ᾽ Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει
*here Agathon the famous dwelling happens*
ὁ τραγῳδοποιός. ΜΝΗΣΙΛΟΧΟΣ ποῖος οὗτος Ἀγάθων;
*the tragedy-maker what-sort this Agathon*
ΕΥΡΙΠΙΔΗΣ ἔστιν τις Ἀγάθων —
*there-is some Agathon*
ΜΝΗΣΙΛΟΧΟΣ μῶν ὁ μέλας ὁ καρτερός;
*surely-not the swarthy the strong*
ΕΥΡΙΠΙΔΗΣ οὔκ, ἀλλ᾽ ἕτερός τις· οὐχ ἑώρακας πώποτε;
*no but another one not have-you-seen ever*
ΜΝΗΣΙΛΟΧΟΣ μῶν ὁ δασυπώγων;
*surely-not the shaggy-bearded*
ΕΥΡΙΠΙΔΗΣ οὐχ ἑώρακας πώποτε;
*not have-you-seen ever*

ΜΝΗΣΙΛΟΧΟΣ μὰ τὸν Δί᾽ οὔτοι γ᾽ ὥστε καί μέ γ᾽ εἰδέναι.
*by — Zeus surely-not at-least so-that even me at-least to-know*

ΕΥΡΙΠΙΔΗΣ καὶ μὴν βεβίνηκας σύ γ᾽, ἀλλ᾽ οὐκ οἶσθ᾽ ἴσως.
*and truly have-fucked you at-least but not you-know perhaps*

ἀλλ᾽ ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται
*but out-of-the-way let-us-crouch since comes-out*

θεράπων τις αὐτοῦ πῦρ ἔχων καὶ μυρρίνας·
*servant some of-his fire having and myrtles*

προθυσόμενος ἔοικε τῆς ποιήσεως.
*about-to-pre-sacrifice seems for-the composition*

ΘΕΡΑΠΩΝ εὔφημος πᾶς ἔστω λαός,
*holy-silent every let-be people*

στόμα συγκλῄσας· ἐπιδημεῖ γὰρ
*mouth having-shut is-in-residence for*

θίασος Μουσῶν ἔνδον μελάθρων
*company of-Muses inside halls*

τῶν δεσποσύνων μελοποιῶν.
*of-the master's song-makers*

ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ,
*let-hold and breaths windless aether*

κῦμα δὲ πόντου μὴ κελαδείτω
*wave and of-sea not let-roar*

γλαυκόν· ΜΝΗΣΙΛΟΧΟΣ βομβάξ. ΕΥΡΙΠΙΔΗΣ σίγα.
*gray bombax silence*

ΜΝΗΣΙΛΟΧΟΣ τί λέγει;
*what does-he-say*

ΘΕΡΑΠΩΝ πτηνῶν τε γένη κατακοιμάσθω,
*of-winged and races let-sleep*

θηρῶν τ᾽ ἀγρίων πόδες ὑλοδρόμων
*of-beasts and wild feet wood-running*

μὴ λυέσθων. ΜΝΗΣΙΛΟΧΟΣ βομβαλοβομβάξ.
*not let-be-loosed bombalobombax*

ΘΕΡΑΠΩΝ μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων
*is-about for the fair-spoken Agathon*

πρόμος ἡμέτερος — ΜΝΗΣΙΛΟΧΟΣ μῶν βινεῖσθαι;
*chief our surely-not to-get-fucked*

ΘΕΡΑΠΩΝ τίς ὁ φωνήσας; ΜΝΗΣΙΛΟΧΟΣ νήνεμος αἰθήρ.
*who the having-spoken windless aether*

ΘΕΡΑΠΩΝ δρυόχους τιθέναι δράματος ἀρχάς.
*keels to-lay of-play beginnings*

κάμπτει δὲ νέας ἀψῖδας ἐπῶν,
*bends and new arches of-words*

τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,
*the and he-turns the and glues-songs*

καὶ γνωμοτυπεῖ κἀντονομάζει
*and maxim-stamps and-coins-names*

καὶ κηροχυτεῖ καὶ γογγύλλει
*and wax-casts and rounds*

καὶ χοανεύει. ΜΝΗΣΙΛΟΧΟΣ καὶ λαικάζει.
*and funnels and sucks-cock*

ΘΕΡΑΠΩΝ τίς ἀγροιώτας πελάθει θριγκοῖς;
*what rustic approaches copings*

ΜΝΗΣΙΛΟΧΟΣ ὃς ἕτοιμος σοῦ τοῦ τε ποιητοῦ
*who ready of-you of-the and poet*

τοῦ καλλιεποῦς κατὰ τοῦ θριγκοῦ
*of-the fair-spoken against the coping*

συγγογγύλας καὶ συστρέψας
*having-rounded and having-twisted*

τουτὶ τὸ πέος χοανεῦσαι.
*this-here the cock to-funnel*

ΘΕΡΑΠΩΝ ἦ που νέος γ' ὢν ἦσθ' ὑβριστὴς ὦ γέρον.
*truly perhaps young at-least being you-were insolent O old-man*

ΕΥΡΙΠΙΔΗΣ ὦ δαιμόνιε τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ
*O strange-one this-one indeed let to-fare-well you and*

Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.
*Agathon for-me here call-out by-every means*

ΘΕΡΑΠΩΝ μηδὲν ἱκέτευ'· αὐτὸς γὰρ ἔξεισιν τάχα.
*nothing beg himself for will-come-out soon*

καὶ γὰρ μελοποιεῖν ἄρχεται· χειμῶνος οὖν
*and for to-make-songs he-begins winter then*

ὄντος κατακάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον,
*being to-bend the strophes not easy*

ἢν μὴ προίῃ θύρασι πρὸς τὸν ἥλιον.
*if not he-comes-forward at-the-door to the sun*

ΕΥΡΙΠΙΔΗΣ τί οὖν ἐγὼ δρῶ; ΘΕΡΑΠΩΝ περίμεν', ὡς ἐξέρχεται.
*what then I do wait since he-comes-out*

ΕΥΡΙΠΙΔΗΣ ὦ Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον;
*O Zeus what to-do do-you-intend me today*

ΜΝΗΣΙΛΟΧΟΣ νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι
*by the gods I to-learn wish*

τί τὸ πρᾶγμα τουτί. τί στένεις; τί δυσφορεῖς;
*what the matter this-here why do-you-groan why are-you-distressed*

οὐ χρῆν σε κρύπτειν ὄντα κηδεστὴν ἐμόν.
*not one-ought you to-hide being kinsman my*

ΕΥΡΙΠΙΔΗΣ ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.
*there-is evil to-me great some kneaded-beforehand*

ΜΝΗΣΙΛΟΧΟΣ ποῖόν τι; ΕΥΡΙΠΙΔΗΣ τῇδε θἠμέρᾳ κριθήσεται
*what-sort a-one on-this the-day will-be-decided*

εἴτ' ἔστ' ἔτι ζῶν εἴτ' ἀπόλωλ' Εὐριπίδης.
*whether is still living or has-perished Euripides*

ΜΝΗΣΙΛΟΧΟΣ καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
*and how since now at-least neither the courts*
μέλλει δικάζειν οὔτε βουλῆς ἐσθ' ἕδρα,
*are-about to-judge nor of-council is sitting*
ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση.
*since third is of-Thesmophoria the middle*
ΕΥΡΙΠΙΔΗΣ τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
*this itself for surely also-to-destroy me I-expect*
αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι
*the for women have-plotted against-me*
κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον
*and-in of-the-Two-Thesmophoroi are-about about me today*
ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ. ΜΝΗΣΙΛΟΧΟΣ τιὴ τί δή;
*to-hold-assembly for destruction why what indeed*
ΕΥΡΙΠΙΔΗΣ ὅτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
*because I-write-tragedy and badly them speak-of*
ΜΝΗΣΙΛΟΧΟΣ νὴ τὸν Ποσειδῶ καὶ δίκαιά γ' ἂν πάθοις.
*by — Poseidon and just-things at-least — you-would-suffer*
ἀτὰρ τίν' ἐκ τούτων σὺ μηχανὴν ἔχεις;
*but what from these you device have*
ΕΥΡΙΠΙΔΗΣ Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
*Agathon to-persuade the tragedy-producer*
ἐς Θεσμοφόροιν ἐλθεῖν. ΜΝΗΣΙΛΟΧΟΣ τί δράσοντ'; εἰπέ μοι.
*to of-the-Two-Thesmophoroi to-go what to-do tell me*
ΕΥΡΙΠΙΔΗΣ ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξὶ κἂν δέῃ
*to-hold-assembly among the women and-if it-be-needful*
λέξονθ' ὑπὲρ ἐμοῦ. ΜΝΗΣΙΛΟΧΟΣ πότερα φανερῶς ἢ λάθρᾳ;
*to-speak for me whether openly or secretly*
ΕΥΡΙΠΙΔΗΣ λάθρᾳ, στολὴν γυναικὸς ἠμφιεσμένον.
*secretly dress of-woman having-put-on*

ΜΝΗΣΙΛΟΧΟΣ τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου·
*the matter clever and very from the your way*
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.
*of-the for scheming ours the cake*
ΕΥΡΙΠΙΔΗΣ σίγα. ΜΝΗΣΙΛΟΧΟΣ τί δ' ἔστιν;
*silence what and is-it*
ΕΥΡΙΠΙΔΗΣ Ἀγάθων ἐξέρχεται.
*Agathon comes-out*
ΜΝΗΣΙΛΟΧΟΣ καὶ ποῖός ἐστιν; ΕΥΡΙΠΙΔΗΣ οὗτος οὐκκυκλούμενος.
*and what-sort is this the-being-wheeled-out*
ΜΝΗΣΙΛΟΧΟΣ ἀλλ' ἢ τυφλὸς μέν εἰμ'· ἐγὼ γὰρ οὐχ ὁρῶ
*but — blind indeed am I for not I-see*
ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα, Κυρήνην δ' ὁρῶ.
*man none here being Cyrene and I-see*
ΕΥΡΙΠΙΔΗΣ σίγα· μελῳδεῖν γὰρ παρασκευάζεται.
*silence to-sing-songs for he-prepares*
ΜΝΗΣΙΛΟΧΟΣ μύρμηκος ἀτραπούς, ἢ τί διαμινύρεται;
*of-ant paths or what does-he-hum*
ΑΓΑΘΩΝ ἱερὰν χθονίαις δεξάμεναι
*holy for-the-underworld-goddesses having-received*
λαμπάδα κοῦραι ξὺν ἐλευθέρᾳ
*torch girls with free*
πατρίδι χορεύσασθε βοάν.
*fatherland dance shout*
ΧΟΡΟΣ ΑΓΑΘΩΝΟΣ τίνι δαιμόνων ὁ κῶμος;
*to-which of-gods the revel*
λέγε νυν. εὐπίστως δὲ τοὐμὸν
*say now credibly and the-my*
δαίμονας ἔχει σεβίσαι.
*gods it-holds to-revere*

ΑΓΑΘΩΝ ἄγε νυν ὄλβιζε Μοῦσα
*come now bless Muse*
χρυσέων ῥύτορα τόξων
*of-golden drawer bows*
Φοῖβον, ὃς ἱδρύσατο χώρας
*Phoebus who established of-the-land*
γύαλα Σιμουντίδι γᾷ.
*hollows in-Simoeis land*
ΧΟΡΟΣ ΑΓΑΘΩΝΟΣ χαῖρε καλλίστας ἀοιδᾶς
*hail of-finest songs*
Φοῖβ' ἐν εὐμούσοισι τιμαῖς
*Phoebus in well-sung honors*
γέρας ἱερὸν προφέρων.
*prize holy bringing-forward*
ΑΓΑΘΩΝ τάν τ' ἐν ὄρεσι δρυογόνοισι
*the and in mountains oak-bearing*
κόραν ἀείσατ'
*maiden sing*
Ἄρτεμιν ἀγροτέραν.
*Artemis wild*
ΧΟΡΟΣ ΑΓΑΘΩΝΟΣ ἕπομαι κλῄζουσα σεμνὸν
*I-follow celebrating august*
γόνον ὀλβίζουσα Λατοῦς
*offspring blessing of-Leto*
Ἄρτεμιν ἀπειρολεχῆ.
*Artemis bed-untried*
ΑΓΑΘΩΝ Λατώ τε κρούματά τ' Ἀσιάδος
*Leto and strokes and of-Asian*
ποδὶ †παράρυθμ' εὔρυθμα Φρυγίων
*with-foot off-rhythm in-rhythm of-Phrygian*

διανεύματα Χαρίτων†.
*nods of-Graces*

ΧΟΡΟΣ ΑΓΑΘΩΝΟΣ σέβομαι Λατώ τ' ἄνασσαν
*I-revere Leto and queen*

κίθαρίν τε ματέρ' ὕμνων
*lyre and mother of-hymns*

ἄρσενι βοᾷ δόκιμον,
*with-male cry approved*

τᾷ φάος ἔσσυτο δαιμονίοις θεοῦ ὄμμασιν
*by-which light sprang from-divine of-god eyes*

ἀμετέρας τε δι' αἰφνιδίου ὀπός. ὧν χάριν
*our and through sudden voice which for-the-sake*

ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.
*the-lord glorify Phoebus with-honor*

χαῖρ' ὄλβιε παῖ Λατοῦς.
*hail blessed son of-Leto*

ΜΝΗΣΙΛΟΧΟΣ ὡς ἡδὺ τὸ μέλος ὦ πότνιαι Γενετυλλίδες
*how sweet the song O ladies Genetyllides*

καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον
*and effeminate and tongue-kissed*

καὶ μανδαλωτόν, ὥστ' ἐμοῦ γ' ἀκροωμένου
*and lewd-kissed so-that me at-least listening*

ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.
*under the seat itself crept tickling*

καί σ' ὦ νεανίσχ' ὅστις εἶ, κατ' Αἰσχύλον
*and you O young-man whoever you-are after Aeschylus*

ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι.
*from the Lycurgeia to-ask I-wish*

ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
*of-what-country the womanish what fatherland what the dress*

τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
*what the confusion of-the life what lute*
λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
*chatters with-saffron-gown what and lyre with-hair-net*
τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον.
*what oil-flask and breast-band how not fitting*
τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
*what then of-mirror and of-sword partnership*
τίς δ' αὐτὸς ὦ παῖ; πότερον ὡς ἀνὴρ τρέφει;
*who and yourself O boy whether as man you-are-reared*
καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;
*and where cock where cloak where Laconian-shoes*
ἀλλ' ὡς γυνὴ δῆτ'· εἶτα ποῦ τὰ τιτθία;
*but as woman then then where the titties*
τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
*what do-you-say why are-you-silent but then from the song*
ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι;
*I-seek you since at-least yourself not you-wish to-tell*
ΑΓΑΘΩΝ ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
*O old-man old-man of-the envy indeed the blame*
ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην·
*I-heard the and pain not I-gave*
ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
*I and the clothing with mind wear*
χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα
*one-must for poet man for the plays*
ἃ δεῖ ποιεῖν πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
*which he-must make for these the ways to-have*
αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα,
*for-instance women's if makes someone plays*

μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ᾽ ἔχειν.
*participation must of-the ways the body to-have*

ΜΝΗΣΙΛΟΧΟΣ οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς;
*then you-ride-astride when Phaedra you-make*

ΑΓΑΘΩΝ ἀνδρεῖα δ᾽ ἢν ποιῇ τις, ἐν τῷ σώματι
*manly and if makes someone in the body*

ἔνεσθ᾽ ὑπάρχον τοῦθ᾽. ἃ δ᾽ οὐ κεκτήμεθα,
*is-in present this what and not we-possess*

μίμησις ἤδη ταῦτα συνθηρεύεται.
*imitation now these hunts-together*

ΜΝΗΣΙΛΟΧΟΣ ὅταν σατύρους τοίνυν ποιῇς, καλεῖν ἐμέ,
*when satyrs well-then you-make call me*

ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.
*so-that I-may-help-make from-behind with-a-hard-on I*

ΑΓΑΘΩΝ ἄλλως τ᾽ ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
*otherwise and unmusical it-is poet to-see*

ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ᾽ ὅτι
*rustic being and hairy look and that*

Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήιος
*Ibycus that-one and-Anacreon the Teian*

κἀλκαῖος, οἳ περὶ ἁρμονίαν ἐχύμισαν,
*and-Alcaeus who about music flavored*

ἐμιτροφόρουν τε καὶ διεκλῶντ᾽ Ἰωνικῶς,
*wore-turbans and and swayed Ionian-wise*

καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
*and Phrynichus this-one for indeed you-have-heard*

αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπέσχετο·
*himself and beautiful was and beautifully dressed*

διὰ τοῦτ᾽ ἄρ᾽ αὐτοῦ καὶ κάλ᾽ ἦν τὰ δράματα.
*because-of this then of-him also beautiful were the plays*

ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.
*like for to-make necessity to-the nature*

ΜΝΗΣΙΛΟΧΟΣ ταῦτ' ἄρ' ὁ Φιλοκλέης αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ,
*this then — Philocles ugly being uglily makes*

ὁ δ' αὖ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ,
*the and in-turn Xenocles being bad badly makes*

ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ. 170
*the and in-turn Theognis cold being coldly makes*

ΑΓΑΘΩΝ ἅπασ' ἀνάγκη· ταῦτα γάρ τοι γνοὺς ἐγὼ
*all necessity this for surely having-recognized I*

ἐμαυτὸν ἐθεράπευσα. ΜΝΗΣΙΛΟΧΟΣ πῶς πρὸς τῶν θεῶν;
*myself treated how by the gods*

ΕΥΡΙΠΙΔΗΣ παῦσαι βαΰζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν
*stop yapping and for I such was*

ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποιεῖν.
*being of-that-age when I-began to-compose*

ΜΝΗΣΙΛΟΧΟΣ μὰ τὸν Δί' οὐ ζηλῶ σε τῆς παιδεύσεως. 175
*by — Zeus not I-envy you for-the education*

ΕΥΡΙΠΙΔΗΣ ἀλλ' ὥνπερ οὕνεκ' ἦλθον, ἔα μ' εἰπεῖν. ΑΓΑΘΩΝ λέγε.
*but which-very because-of I-came let me to-say say*

ΕΥΡΙΠΙΔΗΣ Ἀγάθων, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
*Agathon of-wise befitting man who in brief*

πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
*many well able — to-cut-short words*

ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
*I and by-new misfortune struck*

ἱκέτης ἀφῖγμαι πρὸς σέ. ΑΓΑΘΩΝ τοῦ χρείαν ἔχων; 180
*suppliant have-come to you of-what need having*

ΕΥΡΙΠΙΔΗΣ μέλλουσί μ᾽ αἱ γυναῖκες ἀπολεῖν τήμερον
*are-about me the women to-destroy today*
τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
*at-the Thesmophoria because badly them I-speak-of*
ΑΓΑΘΩΝ τίς οὖν παρ᾽ ἡμῶν ἐστιν ὠφέλειά σοι;
*what then from us is help to-you*
ΕΥΡΙΠΙΔΗΣ ἡ πᾶσ᾽· ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρᾳ
*the all if for sitting-in secretly*
185 ἐν ταῖς γυναιξίν, ὡς δοκῶν εἶναι γυνή,
*among the women as seeming to-be woman*
ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ.
*you-speak-in-defense of-me clearly you-will-save me*
μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
*alone for — you-would-speak worthily of-me*
ΑΓΑΘΩΝ ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;
*then how not yourself do-you-defend being-present*
ΕΥΡΙΠΙΔΗΣ ἐγὼ φράσω σοι. πρῶτα μὲν γιγνώσκομαι·
*I will-tell you first indeed I-am-known*
190 ἔπειτα πολιός εἰμι καὶ πώγων᾽ ἔχω,
*then gray I-am and beard have*
σὺ δ᾽ εὐπρόσωπος λευκὸς ἐξυρημένος
*you and fair-faced white shaven*
γυναικόφωνος ἁπαλὸς εὐπρεπὴς ἰδεῖν.
*woman-voiced soft comely to-see*
ΑΓΑΘΩΝ Εὐριπίδη — ΕΥΡΙΠΙΔΗΣ τί ἔστιν; ΑΓΑΘΩΝ ἐποίησάς ποτε,
*Euripides what is-it you-wrote once*
"χαίρεις ὁρῶν φῶς, πατέρα δ᾽ οὐ χαίρειν δοκεῖς;"
*you-rejoice seeing light father and not to-rejoice you-think*

ΕΥΡΙΠΙΔΗΣ ἔγωγε. ΑΓΑΘΩΝ μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν 195
*I-at-least not now hope the your evil*
ἡμᾶς ὑφέξειν. καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.
*us to-undergo and for — we-would-be-mad —*
ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε.
*but yourself what at-least yours is in-your-own-way bear*
τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν
*the misfortunes for not with-the devices*
φέρειν δίκαιον ἀλλὰ τοῖς παθήμασιν.
*to-bear just but with-the sufferings*
ΜΝΗΣΙΛΟΧΟΣ καὶ μὴν σύ γ' ὦ κατάπυγον εὐρύπρωκτος εἶ 200
*and truly you at-least O buggered wide-ass are*
οὐ τοῖς λόγοισιν ἀλλὰ τοῖς παθήμασιν.
*not by-the words but by-the sufferings*
ΕΥΡΙΠΙΔΗΣ τί δ' ἔστιν ὅτι δέδοικας ἐλθεῖν αὐτόσε;
*what and is-it that you-fear to-go there*
ΑΓΑΘΩΝ κάκιον ἀπολοίμην ἂν ἢ σύ. ΕΥΡΙΠΙΔΗΣ πῶς; ΑΓΑΘΩΝ ὅπως;
*worse I-would-perish — than you how how*
δοκῶν γυναικῶν ἔργα νυκτερείσια
*seeming of-women deeds nocturnal*
κλέπτειν ὑφαρπάζειν τε θήλειαν Κύπριν. 205
*to-steal to-snatch and female Cypris*
ΜΝΗΣΙΛΟΧΟΣ ἰδού γε κλέπτειν· νὴ Δία βινεῖσθαι μὲν οὖν.
*look at-least to-steal by Zeus to-be-fucked indeed rather*
ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί' εἰκότως ἔχει.
*but the excuse at-least by Zeus reasonably is*
ΕΥΡΙΠΙΔΗΣ τί οὖν; ποιήσεις ταῦτα; ΑΓΑΘΩΝ μὴ δόκει γε σύ.
*what then will-you-do these not expect at-least you*
ΕΥΡΙΠΙΔΗΣ ὦ τρισκακοδαίμων ὡς ἀπόλωλ' Εὐριπίδης.
*O thrice-ill-starred how is-ruined Euripides*

ΜΝΗΣΙΛΟΧΟΣ ὦ φίλτατ' ὦ κηδεστὰ μὴ σαυτὸν προδῷς.
*O dearest O kinsman not yourself betray*

ΕΥΡΙΠΙΔΗΣ πῶς οὖν ποιήσω δῆτα; ΜΝΗΣΙΛΟΧΟΣ τοῦτον μὲν μακρὰ
*how then shall-I-do then this-one indeed long*

κλάειν κέλευ', ἐμοὶ δ' ὅ τι βούλει χρῶ λαβών.
*to-weep bid me and what thing you-wish use having-taken*

ΕΥΡΙΠΙΔΗΣ ἄγε νυν ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοί,
*come now since yourself you-give to-me*

ἀπόδυθι τουτὶ θοἰμάτιον. ΜΝΗΣΙΛΟΧΟΣ καὶ δὴ χαμαί.
*take-off this-here the-cloak and indeed on-the-ground*

ἀτὰρ τί μέλλεις δρᾶν μ'; ΕΥΡΙΠΙΔΗΣ ἀποξυρεῖν ταδί,
*but what are-you-about to-do me to-shave these-here*

τὰ κάτω δ' ἀφεύειν. ΜΝΗΣΙΛΟΧΟΣ ἀλλὰ πρᾶττ', εἴ σοι δοκεῖ.
*the below and to-singe but do-it if to-you it-seems*

ἢ μὴ 'πιδοῦν' ἐμαυτὸν ὤφελόν ποτε.
*or not to-give myself I-ought-to-have ever*

ΕΥΡΙΠΙΔΗΣ Ἀγάθων σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε,
*Agathon you however carry-razors each-time*

χρῆσόν τί νυν ἡμῖν ξυρόν. ΑΓΑΘΩΝ αὐτὸς λάμβανε
*lend some now to-us razor yourself take*

ἐντεῦθεν ἐκ τῆς ξυροδόκης. ΕΥΡΙΠΙΔΗΣ γενναῖος εἶ.
*from-here from the razor-case noble you-are*

κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.
*sit puff-out the cheek the right*

ΜΝΗΣΙΛΟΧΟΣ ὤμοι. ΕΥΡΙΠΙΔΗΣ τί κέκραγας;
*ow why have-you-shouted*

ἐμβαλῶ σοι πάτταλον,
*I-will-thrust-in you peg*

ἢν μὴ σιωπᾷς. ΜΝΗΣΙΛΟΧΟΣ ἀτταταῖ ἰατταταῖ.
*if not you-are-silent ow oh-ow*

ΕΥΡΙΠΙΔΗΣ οὗτος σὺ ποῖ θεῖς;
*you you where do-you-run*
ΜΝΗΣΙΛΟΧΟΣ ἐς τὸ τῶν σεμνῶν θεῶν·
*to the of-the august goddesses*
οὐ γὰρ μὰ τὴν Δήμητρά γ' ἐνταυθοῖ μενῶ
*not for by — Demeter at-least here I-will-stay*
τεμνόμενος. ΕΥΡΙΠΙΔΗΣ οὔκουν καταγέλαστος δῆτ' ἔσει
*being-cut not-then ridiculous then will-you-be*
τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;
*the half-head the other bare having*
ΜΝΗΣΙΛΟΧΟΣ ὀλίγον μέλει μοι. ΕΥΡΙΠΙΔΗΣ μηδαμῶς πρὸς τῶν θεῶν
*little cares me by-no-means by the gods*
προδῷς με· χώρει δεῦρο. ΜΝΗΣΙΛΟΧΟΣ κακοδαίμων ἐγώ.
*betray me go here ill-starred I*
ΕΥΡΙΠΙΔΗΣ ἔχ' ἀτρέμα σαυτὸν κἀνάκυπτε· ποῖ στρέφει;
*hold still yourself and-look-up where do-you-turn*
ΜΝΗΣΙΛΟΧΟΣ μυμῦ. ΕΥΡΙΠΙΔΗΣ τί μύζεις; πάντα πεποίηται καλῶς.
*mmm why do-you-moan all is-done well*
ΜΝΗΣΙΛΟΧΟΣ οἴμοι κακοδαίμων, ψιλὸς αὖ στρατεύσομαι.
*ah-me ill-starred bare in-turn I-will-serve*
ΕΥΡΙΠΙΔΗΣ μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φανεῖ πάνυ.
*not worry since comely you-will-appear very*
βούλει θεᾶσθαι σαυτόν; ΜΝΗΣΙΛΟΧΟΣ εἰ δοκεῖ, φέρε.
*do-you-wish to-behold yourself if it-seems bring*
ΕΥΡΙΠΙΔΗΣ ὁρᾷς σεαυτόν; ΜΝΗΣΙΛΟΧΟΣ οὐ μὰ Δί' ἀλλὰ Κλεισθένη.
*you-see yourself not by Zeus but Cleisthenes*
ΕΥΡΙΠΙΔΗΣ ἀνίστασ', ἵν' ἀφεύσω σε, κἀγκύψας ἔχε.
*stand-up so-that I-may-singe you and-stooping hold*
ΜΝΗΣΙΛΟΧΟΣ οἴμοι κακοδαίμων δελφάκιον γενήσομαι.
*ah-me ill-starred piglet I-shall-become*

ΕΥΡΙΠΙΔΗΣ ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
*let-bring someone from-inside torch or lamp*
ἐπίκυπτε· τὴν κέρκον φυλάττου νυν ἄκραν.
*stoop the tail guard now tip*
240 ΜΝΗΣΙΛΟΧΟΣ ἐμοὶ μελήσει νὴ Δία, πλήν γ' ὅτι κάομαι.
*to-me will-be-a-care by Zeus except at-least that I-burn*
οἴμοι τάλας. ὕδωρ ὕδωρ ὦ γείτονες.
*ah-me wretched water water O neighbors*
πρὶν ἀντιλαβέσθαι †πρωκτὸν τῆς φλογός.†
*before to-catch the-ass of-the flame*
ΕΥΡΙΠΙΔΗΣ θάρρει.
*take-heart*
ΜΝΗΣΙΛΟΧΟΣ τί θαρρῶ καταπεπυρπολημένος;
*why am-I-to-take-heart utterly-burned*
ΕΥΡΙΠΙΔΗΣ ἀλλ' οὐκ ἔτ' οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
*but not any-longer nothing trouble to-you the most for*
245 ἀποπεπόνηκας. ΜΝΗΣΙΛΟΧΟΣ φῦ ἰοὺ τῆς ἀσβόλου.
*you-have-got-through phew oh of-the soot*
αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
*singed I-have-become all the around the crotch*
ΕΥΡΙΠΙΔΗΣ μὴ φροντίσῃς· ἕτερος γὰρ αὐτὰ σφογγιεῖ.
*not worry another for them will-sponge*
ΜΝΗΣΙΛΟΧΟΣ οἰμώξεταῖ' εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
*he-will-wail-then if any the my ass will-wash*
ΕΥΡΙΠΙΔΗΣ Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
*Agathon since yourself to-give you-begrudge*
250 ἀλλ' ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτῳὶ
*but cloak at-least lend us to-this-here*
καὶ στρόφιον· οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
*and breast-band not for these at-least that not is you-will-say*

ΑΓΑΘΩΝ λαμβάνετε καὶ χρῆσθ'· οὐ φθονῶ.
*take and use not I-begrudge*

ΜΝΗΣΙΛΟΧΟΣ τί οὖν λάβω;
*what then shall-I-take*

ΑΓΑΘΩΝ ὅ τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.
*what thing the saffron-gown first put-on having-taken*

ΜΝΗΣΙΛΟΧΟΣ νὴ τὴν Ἀφροδίτην ἡδύ γ' ὄζει ποσθίου.
*by — Aphrodite sweet at-least smells of-little-cock*

σύζωσον ἀνύσας. αἶρε νῦν στρόφιον. ΕΥΡΙΠΙΔΗΣ ἰδού. 255
*gird quickly lift now breast-band look*

ΜΝΗΣΙΛΟΧΟΣ ἴθι νυν κατάστειλόν με τὰ περὶ τὼ σκέλει.
*come now arrange me the about the two-legs*

ΕΥΡΙΠΙΔΗΣ κεκρυφάλου δεῖ καὶ μίτρας. ΑΓΑΘΩΝ ἡδὶ μὲν οὖν
*hair-net needed and headband this indeed rather*

κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.
*head wig which I by-night wear*

ΕΥΡΙΠΙΔΗΣ νὴ τὸν Δί' ἀλλὰ κἀπιτηδεία πάνυ.
*by — Zeus but and-suitable very*

ΜΝΗΣΙΛΟΧΟΣ ἆρ' ἁρμόσει μοι; ΕΥΡΙΠΙΔΗΣ νὴ Δί' ἀλλ' ἄριστ' ἔχει. 260
*— will-it-fit me by Zeus but best is*

φέρ' ἔγκυκλον· ΑΓΑΘΩΝ τουτὶ λάβ' ἀπὸ τῆς κλινίδος.
*come round-gown this-here take from the couch*

ΕΥΡΙΠΙΔΗΣ ὑποδημάτων δεῖ. ΑΓΑΘΩΝ τἀμὰ ταυτὶ λάμβανε.
*of-shoes there-is-need the-mine these-here take*

ΜΝΗΣΙΛΟΧΟΣ ἆρ' ἁρμόσει μοι;
*— will-they-fit me*

ΕΥΡΙΠΙΔΗΣ χαλαρὰ γοῦν χαίρεις φορῶν.
*loose at-least you-delight wearing*

ΑΓΑΘΩΝ σὺ τοῦτο γίγνωσκ'· ἀλλ' ἔχεις γὰρ ὧν δέει,
*you this decide but you-have for what you-need*
εἴσω τις ὡς τάχιστά μ' ἐσκυκλησάτω.
*inside someone as quickly-as-possible me let-wheel-in*
ΕΥΡΙΠΙΔΗΣ ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ καὶ δὴ γυνὴ
*the-man indeed to-us this-here and indeed woman*
τό γ' εἶδος· ἢν λαλῇς δ', ὅπως τῷ φθέγματι
*the at-least appearance if you-chatter and see-that with-the voice*
γυναικιεῖς εὖ καὶ πιθανῶς. ΜΝΗΣΙΛΟΧΟΣ πειράσομαι.
*you-act-the-woman well and persuasively I-will-try*
ΕΥΡΙΠΙΔΗΣ βάδιζε τοίνυν.
*walk well-then*
ΜΝΗΣΙΛΟΧΟΣ μὰ τὸν Ἀπόλλω οὔκ, ἤν γε μὴ
*by — Apollo not if at-least not*
ὀμόσῃς ἐμοί — ΕΥΡΙΠΙΔΗΣ τί χρῆμα; ΜΝΗΣΙΛΟΧΟΣ συσσώσειν ἐμὲ
*you-swear to-me what thing to-help-save me*
πάσαις τέχναις, ἤν μοί τι περιπίπτῃ κακόν.
*by-all arts if to-me anything befalls evil*
ΕΥΡΙΠΙΔΗΣ ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.
*I-swear well-then aether dwelling of-Zeus*
ΜΝΗΣΙΛΟΧΟΣ τί μᾶλλον ἢ τὴν Ἱπποκράτους ξυνοικίαν;
*what rather than the of-Hippocrates tenement*
ΕΥΡΙΠΙΔΗΣ ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.
*I-swear well-then all wholesale the gods*
ΜΝΗΣΙΛΟΧΟΣ μέμνησο τοίνυν ταῦθ', ὅτι ἡ φρὴν ὤμοσεν,
*remember well-then this that the mind swore*
ἡ γλῶττα δ' οὐκ ὀμώμοκ'· οὐδ' ὤρκωσ' ἐγώ.
*the tongue and not has-sworn nor made-swear I*

ΕΥΡΙΠΙΔΗΣ ἔκσπευδε ταχέως· ὡς τὸ τῆς ἐκκλησίας
*hurry quickly since the of-the assembly*
σημεῖον ἐν τῷ Θεσμοφορείῳ φαίνεται.
*signal in — Thesmophorium appears*
ἐγὼ δ' ἄπειμι. ΜΝΗΣΙΛΟΧΟΣ δεῦρό νυν ὦ Θρᾷττ' ἕπου.
*I and go-away here now O Thracian-girl follow*
ὦ Θρᾷττα θέασαι, καομένων τῶν λαμπάδων
*O Thracian-girl behold burning the torches*
ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
*how-great the thing goes-up from the smoke*
ἀλλ' ὦ περικαλλεῖ Θεσμοφόρω δέξασθέ με
*but O most-beautiful Two-Thesmophoroi receive me*
ἀγαθῇ τύχῃ καὶ δεῦρο καὶ πάλιν οἴκαδε.
*with-good fortune both here and back home*
ὦ Θρᾷττα τὴν κίστην κάθελε, κᾆτ' ἔξελε
*O Thracian-girl the box take-down and-then take-out*
τὸ πόπανον, ὅπως λαβοῦσα θύσω τοῖν θεοῖν.
*the cake so-that taking I-may-sacrifice to-the two-goddesses*
δέσποινα πολυτίμητε Δήμητερ φίλη
*lady much-honored Demeter dear*
καὶ Φερρέφαττα, πολλὰ πολλάκις μέ σοι
*and Pherrephatta much often me to-you*
θύειν ἔχουσαν, εἰ δὲ μἀλλὰ νῦν λαθεῖν.
*to-sacrifice having if and not-but now to-escape-notice*
καὶ τοῦ θυγατρίου χοῖρον ἀνδρός μοι τυχεῖν
*and of-the little-daughter pig husband for-me to-get*
πλουτοῦντος, ἄλλως δ' ἠλιθίου κἀβελτέρου,
*rich otherwise and foolish and-simple*
καὶ ποσθαλίσκον νοῦν ἔχειν μοι καὶ φρένας.
*and little-cock mind to-have for-me and wits*

ποῦ ποῦ καθίζωμ᾽ ἐν καλῷ, τῶν ῥητόρων
*where where shall-I-sit in good of-the speakers*
ἵν᾽ ἐξακούω; σὺ δ᾽ ἄπιθ᾽ ὦ Θρᾷττ᾽ ἐκποδών.
*so-that I-may-hear you and go-away O Thracian-girl out-of-the-way*

## II · THE WOMEN'S PRAYERS

*A herald opens the women's assembly with prayers to the Thesmophoroi and the gods, and with curses on any who conspire with Euripides and the Medes, betray secrets, cheat lovers, or give short measure of wine. The chorus prays the same.*

ΚΗΡΥΚΑΙΝΑ εὐφημία ᾽στω, εὐφημία ᾽στω. εὔχεσθε τοῖν
*holy-silence let-be holy-silence let-be pray to-the*
Θεσμοφόροιν τῇ Δήμητρι καὶ τῇ Κόρῃ καὶ τῷ
*Two-Thesmophoroi — to-Demeter and to-the Maid and to-the*
Πλούτῳ καὶ τῇ Καλλιγενείᾳ καὶ τῇ Κουροτρόφῳ
*Plutus and — to-Calligeneia and to-the Child-nurse*
τῇ Γῇ καὶ τῷ Ἑρμῇ καὶ Χάρισιν ἐκκλησίαν
*— to-Earth and — to-Hermes and to-Graces assembly*
τήνδε καὶ σύνοδον τὴν νῦν κάλλιστα καὶ ἄριστα
*this and meeting the now most-finely and best*
ποιῆσαι, πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων
*to-make much-benefiting indeed for-city the of-Athenians*
τυχηρῶς δ᾽ ἡμῖν αὐταῖς. καὶ τὴν δρῶσαν
*luckily and for-us ourselves and the doing*
τήν τ᾽ ἀγορεύουσαν τὰ βέλτιστα περὶ τὸν δῆμον
*her and speaking the best about the people*
τὸν Ἀθηναίων καὶ τὸν τῶν γυναικῶν ταύτην
*the of-Athenians and the of-the women her*

νικᾶν. ταῦτ᾽ εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά.
*to-win these pray and for-you yourselves the-goods*

ἰὴ παιὼν ἰὴ παιὼν ἰὴ παιών. χαίρωμεν.
*ie paean ie paean ie paean let-us-rejoice*

ΧΟΡΟΣ δεχόμεθα καὶ θεῶν γένος
*we-accept and of-gods race*

λιτόμεθα ταῖσδ᾽ ἐπ᾽ εὐχαῖς
*we-pray these at prayers*

φανέντας ἐπιχαρῆναι.
*having-appeared to-rejoice*

Ζεῦ μεγαλώνυμε χρυσολύρα τε
*Zeus great-named golden-lyred and*

Δῆλον ὃς ἔχεις ἱεράν,
*Delos who hold holy*

καὶ σὺ παγκρατὲς κόρα γλαυκῶπι
*and you all-powerful maiden gray-eyed*

χρυσόλογχε πόλιν οἰκοῦσα
*golden-speared city dwelling*

περιμάχητον, ἐλθὲ δεῦρο.
*fought-over come here*

καὶ πολυώνυμε θηροφόνη παῖ
*and many-named beast-slaying child*

Λατοῦς χρυσώπιδος ἔρνος,
*of-Leto golden-eyed offspring*

σύ τε πόντιε σεμνὲ Πόσειδον
*you and of-the-sea august Poseidon*

ἁλιμέδον προλιπὼν
*sea-ruling having-left*

μυχὸν ἰχθυόεντ᾽ οἰστροδόνητον,
*recess fishy gadfly-whirled*

Νηρέος ἐναλίου τε κόραι
*of-Nereus of-the-sea and daughters*
Νύμφαι τ' ὀρείπλαγκτοι.
*Nymphs and mountain-roaming*
χρυσέα τε φόρμιγξ
*golden and lyre*
ἰαχήσειεν ἐπ' εὐχαῖς
*may-ring at prayers*
ἡμετέραις· τελέως δ'
*our perfectly and*
ἐκκλησιάσαιμεν Ἀθηναίων
*may-we-hold-assembly of-Athenians*
εὐγενεῖς γυναῖκες.
*noble women*
ΚΗΡΥΚΑΙΝΑ εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις
*pray to-the gods the Olympian*
καὶ ταῖς Ὀλυμπίαισι καὶ τοῖς Πυθίοις
*and to-the Olympian-goddesses and to-the Pythian*
καὶ ταῖσι Πυθίαισι καὶ τοῖς Δηλίοις
*and to-the Pythian-goddesses and to-the Delian*
καὶ ταῖσι Δηλίαισι τοῖς τ' ἄλλοις θεοῖς,
*and to-the Delian-goddesses to-the and other gods*
εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
*if anyone plots something against-the people evil*
τῷ τῶν γυναικῶν ἢ 'πικηρυκεύεται
*the of-the women or negotiates*
Εὐριπίδῃ Μήδοις τ' ἐπὶ βλάβῃ τινὶ
*with-Euripides with-Medes and for harm some*
τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ
*the of-the women or to-be-tyrant intends*

ἢ τὸν τύραννον συγκατάγειν, ἢ παιδίον
*or the tyrant to-help-restore or child*
ὑποβαλλομένης κατεῖπεν, ἢ δούλη τινὸς
*of-one-foisting denounced or slave of-someone*
προαγωγὸς οὖσ' ἐνετρύλλισεν τῷ δεσπότῃ
*procuress being whispered to-the master*
ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει,
*or being-sent anyone messages false carries*
ἢ μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων
*or lover if any deceives lies telling*
καὶ μὴ δίδωσιν ἂν ὑπόσχηταί ποτε,
*and not gives what he-promises ever*
ἢ δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή,
*or gifts anyone gives to-lover old woman*
ἢ καὶ δέχεται προδιδοῦσ' ἑταίρα τὸν φίλον,
*or also receives betraying courtesan the friend*
κεἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοῶς
*and-if any tavern-keeper or tavern-woman of-the pitcher*
ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται,
*or of-the half-pints the measure spoils*
κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κᾠκίαν
*badly to-perish this-one himself and-his-house*
ἀρᾶσθε, ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
*pray to-the and other to-you the gods*
εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.
*pray for-all many-things to-give and-good-things*
ΧΟΡΟΣ ξυνευχόμεσθα τέλεα μὲν
*we-pray-with fulfilled indeed*
πόλει τέλεα δὲ δήμῳ
*for-city fulfilled and for-people*

τάδ' εὔγματα γενέσθαι,
*these prayers to-be*
τὰ δ' ἄρισθ' ὅσαις προσήκει
*the and best for-as-many-as it-befits*
νικᾶν λεγούσαις· ὁπόσαι δ'
*to-win speaking as-many-as and*
ἐξαπατῶσιν παραβαίνουσί τε τοὺς
*deceive transgress and the*
ὅρκους τοὺς νενομισμένους
*oaths the customary*
κερδῶν οὕνεκ' ἐπὶ βλάβῃ,
*of-gains for-the-sake for harm*
ἢ ψηφίσματα καὶ νόμον
*or decrees and law*
ζητοῦσ' ἀντιμεθιστάναι,
*seek to-change*
τἀπόρρητά τε τοῖσιν ἐχθροῖς
*the-secrets and to-the enemies*
τοῖς ἡμετέροις λέγουσ',
*the our telling*
ἢ Μήδους ἐπάγουσι γῇ
*or Medes bring-in to-the-land*
κερδῶν οὕνεκ' ἐπὶ βλάβῃ,
*of-gains for-the-sake for harm*
ἀσεβοῦσιν ἀδικοῦσίν τε τὴν πόλιν.
*are-impious wrong and the city*
ἀλλ' ὦ παγκρατὲς
*but O all-powerful*
Ζεῦ ταῦτα κυρώσειας, ὥσθ'
*Zeus these may-you-ratify so-that*

ἡμῖν θεοὺς παραστατεῖν
*to-us gods to-stand-by*
καίπερ γυναιξὶν οὔσαις.
*although women being*

## III · THE WOMEN'S ASSEMBLY

*A woman complains that Euripides has made husbands suspect their wives and lock up the stores, and proposes his death; a garland-seller adds that he has ruined her trade by teaching that there are no gods. The disguised kinsman defends him, saying the women do far worse than he has told and listing their tricks with lovers and foisted babies. The women threaten to pluck him, and the quarrel nearly comes to blows until a newcomer is seen hurrying up.*

ΚΗΡΥΚΑΙΝΑ ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
*hear everyone resolved the council these-things*
τῇ τῶν γυναικῶν· Τιμόκλει' ἐπεστάτει,
*the of-the women Timocleia presided*
Λύσιλλ' ἐγραμμάτευεν, εἶπε Σωστράτη·
*Lysilla was-clerk said Sostrate*
ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
*assembly to-hold at-dawn on-the middle*
τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή,
*of-the Thesmophoria when most for-us leisure*
καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
*and to-deal first about Euripides*
ὅ τι χρὴ παθεῖν ἐκεῖνον· ἀδικεῖν γὰρ δοκεῖ
*what thing must to-suffer he to-wrong for he-seems*
ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;
*to-us all who to-speak wishes*

ΓΥΝΗ Α′ ἐγώ. ΚΗΡΥΚΑΙΝΑ περίθου νυν τόνδε πρῶτον πρὶν λέγειν.
*I put-on now this first before speaking*

ΧΟΡΟΣ σίγα σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται γὰρ ἤδη
*silence be-quiet attend the mind she-clears-her-throat for already*

ὅπερ ποιοῦσ᾽ οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.
*which-indeed do the speakers long she-seems to-be-about-to-speak*

ΓΥΝΗ Α′ φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ
*from-ambition indeed none by the two-goddesses*

λέξουσ᾽ ἀνέστην ὦ γυναῖκες· ἀλλὰ γὰρ
*to-speak I-stood-up O women but for*

βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον
*heavily I-bear wretched much already time*

προπηλακιζομένας ὁρῶσ᾽ ἡμᾶς ὑπὸ
*being-dragged-in-the-mud seeing us by*

Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας
*Euripides the of-the vegetable-seller*

καὶ πολλὰ καὶ παντοῖ᾽ ἀκουούσας κακά.
*and many and all-kinds hearing evils*

τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;
*what for this-man us not smears of-the evils*

ποῦ δ᾽ οὐχὶ διαβέβληχ᾽, ὅπουπερ ἔμβραχυ
*where and not has-be-slandered wherever-indeed in-short*

εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί,
*are spectators and tragedians and choruses*

τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν,
*the adultery-minded the man-lovers calling*

τὰς οἰνοπότιδας, τὰς προδότιδας, τὰς λάλους,
*the wine-drinkers the betrayers the chatterers*

τὰς οὐδὲν ὑγιές, τὰς μέγ᾽ ἀνδράσιν κακόν·
*the nothing sound the great to-men evil*

ὥστ᾽ εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων
*so-that at-once coming-in from the benches*
ὑποβλέπουσ᾽ ἡμᾶς σκοποῦνταί τ᾽ εὐθέως
*they-look-askance-at us search and at-once*
μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος.
*lest lover inside is some hidden*
δρᾶσαι δ᾽ ἔθ᾽ ἡμῖν οὐδὲν ὥσπερ καὶ πρὸ τοῦ
*to-do and still for-us nothing as also before this*
ἔξεστι· τοιαῦθ᾽ οὗτος ἐδίδαξεν κακὰ
*is-possible such-things this-man taught evils*
τοὺς ἄνδρας ἡμῶν· ὥστ᾽ ἐάνπερ τις πλέκῃ
*the husbands our so-that if-indeed anyone plaits*
γυνὴ στέφανον, ἐρᾶν δοκεῖ· κἂν ἐκβάλῃ
*woman garland to-love she-seems and-if she-drops*
σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη,
*utensil some through the house wandering*
ἀνὴρ ἐρωτᾷ, "τῷ κατέαγεν ἡ χύτρα;
*the-husband asks for-whom has-been-broken the pot*
οὐκ ἔσθ᾽ ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ."
*not it-is how not for-the Corinthian guest*
κάμνει κόρη τις, εὐθὺς ἀδελφὸς λέγει,
*is-sick girl some at-once the-brother says*
"τὸ χρῶμα τοῦτό μ᾽ οὐκ ἀρέσκει τῆς κόρης."
*the color this me not pleases of-the girl*
εἶεν, γυνή τις ὑποβαλέσθαι βούλεται
*well woman some to-foist-a-baby wishes*
ἀποροῦσα παίδων, οὐδὲ τοῦτ᾽ ἔστιν λαθεῖν.
*lacking children nor this it-is-possible to-escape-notice*
ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον·
*the-men for already sit-by near*

πρὸς τοὺς γέροντάς θ' οἳ πρὸ τοῦ τὰς μείρακας
*to the old-men and who before this the girls*
ἤγοντο, διαβέβληκεν, ὥστ' οὐδεὶς γέρων
*married he-has-slandered so-that no old-man*
γαμεῖν ἐθέλει γυναῖκα διὰ τοὔπος τοδὶ
*to-marry wishes woman because-of the-verse this-here*
"δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή."
*mistress for for-old bridegroom wife*
εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν
*then because-of this-man on-the women's-quarters*
σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλοὺς
*seals they-put now and bars*
τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς
*watching us and besides Molossian*
τρέφουσι μορμολυκεῖα τοῖς μοιχοῖς κύνας.
*they-keep bogeys for-the lovers dogs*
καὶ ταῦτα μὲν ξυγγνώσθ'. ἃ δ' ἦν ἡμῖν πρὸ τοῦ
*and these indeed pardonable what and was to-us before this*
αὐταῖς ταμιεῦσαι καὶ προαιρούσαις λαθεῖν
*ourselves to-manage and taking-out to-escape-notice*
ἄλφιτον ἔλαιον οἶνον, οὐδὲ ταῦτ' ἔτι
*barley-meal oil wine not-even this still*
ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλῄδια
*is-possible the for husbands now keys*
αὐτοὶ φοροῦσι κρυπτὰ κακοηθέστατα
*themselves carry secret most-malicious*
Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.
*Laconian some three having teeth*
πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν
*before this indeed then it-was-possible but to-open the door*

ποιησαμέναισι δακτύλιον τριωβόλου,
*having-made ring of-three-obols*

νῦν δ' οὗτος αὐτοὺς ὡκότριψ Εὐριπίδης
*now and this-man them the-house-bred-slave Euripides*

ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
*taught worm-eaten to-have little-seals*

ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ
*having-hung-on now then to-me for-this-man seems*

ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἀμωσγέπως,
*destruction some us to-stir-up somehow*

ἢ φαρμάκοισιν ἢ μιᾷ γέ τῳ τέχνῃ,
*either with-drugs or one at-least some art*

ὅπως ἀπολεῖται. ταῦτ' ἐγὼ φανερῶς λέγω,
*so-that he-will-perish this I openly say*

τὰ δ' ἄλλα μετὰ τῆς γραμματέως συγγράψομαι.
*the and rest with the clerk I-will-draft*

ΧΟΡΟΣ οὔπω ταύτης ἤκουσα
*never-yet than-this I-heard*

πολυπλοκωτέρας γυναικὸς
*more-intricate woman*

οὐδὲ δεινότερον λεγούσης.
*nor more-cleverly speaking*

πάντα γὰρ λέγει δίκαια,
*all for she-says just-things*

†πάσας δ' ἰδέας ἐξήτασεν,
*all and forms she-examined*

πάντα δ' ἐβάστασεν φρενὶ πυκνῶς τε†
*all and she-weighed in-mind shrewdly and*

ποικίλους λόγους ἀνηῦρεν
*intricate words she-found*

εὖ διεζητημένους·
*well searched-out*

ὥστ' ἂν εἰ λέγοι παρ' αὐτὴν
*so-that — if should-speak beside her*

Ξενοκλέης ὁ Καρκίνου, δοκεῖν
*Xenocles the son-of-Carcinus to-seem*

ἂν αὐτόν, ὡς ἐγῷμαι,
*— him as I-think*

πᾶσιν ὑμῖν
*to-all you*

ἄντικρυς μηδὲν λέγειν.
*outright nothing to-say*

ΓΥΝΗ Β′ ὀλίγων ἕνεκα καὐτὴ παρῆλθον ῥημάτων.
*of-few for-the-sake and-I came-forward words*

τὰ μὲν γὰρ ἄλλ' αὕτη κατηγόρηκεν εὖ·
*the indeed for others she has-accused well*

ἃ δ' ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι.
*what and I have-suffered these to-tell I-wish*

ἐμοὶ γὰρ ἀνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ
*my for husband died indeed in Cyprus*

παιδάρια πέντε καταλιπών, ἀγὼ μόλις
*little-children five having-left whom-I hardly*

στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυρρίναις.
*garland-plaiting fed in the myrtle-market*

τέως μὲν οὖν ἀλλ' ἡμικάκως ἐβοσκόμην·
*for-a-while indeed then but half-badly I-was-fed*

νῦν δ' οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν
*now and this-man in the tragedies composing*

τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς·
*the men has-persuaded not to-be gods*

ὥστ᾽ οὐκέτ᾽ ἐμπολῶμεν οὐδ᾽ εἰς ἥμισυ.
*so-that no-longer we-sell not-even to half*
νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω
*now then all I-advise and say*
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα·
*this to-punish the man of-many-things for-the-sake*
ἄγρια γὰρ ἡμᾶς ὦ γυναῖκες δρᾷ κακά,
*wild for us O women he-does evils*
ἅτ᾽ ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.
*as among wild the vegetables himself reared*
ἀλλ᾽ εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσιν
*but to market I-go-off I-must for for-men*
πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.
*to-plait garlands ordered twenty*
ΧΟΡΟΣ ἕτερον αὖ τι λῆμα τοῦτο
*another in-turn something spirit this*
κομψότερον ἔτ᾽ ἢ τὸ πρότερον
*more-elegant still than the former*
ἀναπέφηνεν.
*has-shown-up*
οἷα κατεστωμύλατο
*what-things she-chattered*
οὐκ ἄκαιρα, φρένας ἔχουσα
*not untimely wits having*
καὶ πολύπλοκον νόημ᾽, οὐδ᾽
*and intricate thought nor*
ἀσύνετ᾽ ἀλλὰ πιθανὰ πάντα.
*unintelligent but persuasive all*
δεῖ δὲ ταύτης τῆς ὕβρεως ἡμῖν
*one-must and of-this the insolence to-us*

τὸν ἄνδρα
*the man*
περιφανῶς δοῦναι δίκην.
*openly to-pay penalty*
ΜΝΗΣΙΛΟΧΟΣ τὸ μὲν ὦ γυναῖκες ὀξυθυμεῖσθαι σφόδρα
*the indeed O women to-be-angry very*
Εὐριπίδῃ, τοιαῦτ' ἀκουούσας κακά,
*at-Euripides such hearing evils*
οὐ θαυμάσιόν ἐστ', οὐδ' ἐπιζεῖν τὴν χολήν.
*not wonderful it-is nor to-boil-over the bile*
καὐτὴ γὰρ ἔγωγ', οὕτως ὀναίμην τῶν τέκνων,
*and-I for I-at-least so may-I-enjoy the children*
μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι.
*hate the man that if not I-am-mad*
ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον·
*nevertheless and among one-another one-must to-give account*
αὐταὶ γάρ ἐσμεν, κοὐδεμί' ἔκφορος λόγου.
*ourselves for we-are and-none carrying-out of-speech*
τί ταῦτ' ἔχουσαι 'κεῖνον αἰτιώμεθα
*why these having that-man do-we-blame*
βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία
*heavily and we-bear if two our or three*
κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία;
*evils knowing he-told doing ten-thousand*
ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μἄλλην λέγω,
*I for myself first so-that not-another I-name*
ξύνοιδ' ἐμαυτῇ πολλὰ δεί'· ἐκεῖνο δ' οὖν
*am-conscious to-myself many terrible-things that and then*
δεινότατον, ὅτε νύμφη μὲν ἦν τρεῖς ἡμέρας,
*most-terrible when bride indeed I-was three days*

ὁ δ' ἀνὴρ παρ' ἐμοὶ καθηῦδεν· ἦν δέ μοι φίλος,
*the and husband by me slept was and to-me friend*
ὅσπερ με διεκόρησεν οὖσαν ἑπτέτιν.
*who me deflowered being seven-years-old*
οὗτος πόθῳ μου 'κνυεν ἐλθὼν τὴν θύραν·
*this-one from-longing for-me scratched coming-to the door*
κᾆτ' εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρᾳ.
*and-then at-once I-knew then I-go-down secretly*
ὁ δ' ἀνὴρ ἐρωτᾷ "ποῖ σὺ καταβαίνεις"; "ὅποι;
*the and husband asks where you are-you-going-down where*
στρόφος μ' ἔχει τὴν γαστέρ' ὦνερ κὠδύνη·
*colic me holds the belly O-husband and-pain*
ἐς τὸν κοπρῶν' οὖν ἔρχομαι." "βάδιζέ νυν·"
*to the privy then I-go walk now*
κᾆθ' ὁ μὲν ἔτριβε κεδρίδας ἄννηθον σφάκον·
*and-then he indeed ground juniper-berries dill sage*
ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ
*I and having-poured-on of-the hinge water*
ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ' ἠρειδόμην
*went-out to the lover then I-was-pressed*
παρὰ τὸν Ἀγυιᾶ κύβδ' ἐχομένη τῆς δάφνης.
*by — Agyieus bent-over holding the laurel*
ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης·
*these never said see Euripides*
οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων
*nor how by the slaves and muleteers*
σποδούμεθ', ἢν μὴ 'χωμεν ἕτερον, οὐ λέγει·
*we-are-banged if not we-have another not he-says*
οὐδ' ὡς ὅταν μάλισθ' ὑπό του ληκώμεθα
*nor how when most by someone we-are-banged*

τὴν νύχθ', ἕωθεν σκόροδα διαμασώμεθα,
*the night at-dawn garlic we-chew*
ἵν' ὀσφρόμενος ἀνὴρ ἀπὸ τείχους εἰσιὼν
*so-that smelling the-husband from wall coming-in*
μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. ταῦθ', ὁρᾷς,
*nothing bad to-do may-suspect this you-see*
οὐπώποτ' εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ,
*never he-said if and Phaedra he-abuses*
ἡμῖν τί τοῦτ' ἔστ'; οὐδ' ἐκεῖν' εἴρηκέ πω,
*to-us what this is nor that he-has-said yet*
ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον
*how the wife showing to-the-husband the-cloak*
†ὑπ' αὐγὰς† οἷόν ἐστιν, ἐγκεκαλυμμένον
*under rays what-sort it-is wrapped-up*
τὸν μοιχὸν ἐξέπεμψεν, οὐκ εἴρηκέ πω.
*the lover sent-out not he-has-said yet*
ἑτέραν δ' ἐγῷδ' ἣ 'φασκεν ὠδίνειν γυνὴ
*another and I-know who said to-be-in-labor woman*
δέχ' ἡμέρας, ἕως ἐπρίατο παιδίον·
*ten days until she-bought baby*
ὁ δ' ἀνὴρ περιέτρεχ' ὠκυτόκι' ὠνούμενος·
*the and husband ran-around birth-hastening-drugs buying*
τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον,
*it and brought-in old-woman in pot the baby*
ἵνα μὴ βοᾴη, κηρίῳ βεβυσμένον·
*so-that not it-might-cry with-honeycomb stopped-up*
εἶθ' ὡς ἔνευσεν ἡ φέρουσ', εὐθὺς βοᾷ,
*then when nodded the carrying at-once she-shouts*
"ἄπελθ' ἄπελθ', ἤδη γὰρ ὦνέρ μοι δοκῶ
*go-away go-away already for O-husband to-me I-seem*

τέξειν.” τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν·
*to-give-birth the for belly of-the pot kicked*
χὠ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ’ ἐξέσπασεν
*and-he indeed rejoicing ran she and pulled-out*
ἐκ τοῦ στόματος τοῦ παιδίου, τὸ δ’ ἀνέκραγεν.
*from the mouth of-the baby it and cried-out*
εἶθ’ ἡ μιαρὰ γραῦς, ἣ ’φερεν τὸ παιδίον,
*then the foul old-woman who brought the baby*
θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα καὶ λέγει,
*runs smiling to the husband and says*
“λέων λέων σοι γέγονεν, αὖτ’ ἔκμαγμα σόν,
*lion lion to-you is-born it impression yours*
τά τ’ ἄλλ’ ἁπαξάπαντα καὶ τὸ πόσθιον
*the and other all-together and the little-cock*
τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.”
*to-the yours like twisted like cone*
ταῦτ’ οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν
*these not we-do the evils by — Artemis*
ἡμεῖς γε. κᾆτ’ Εὐριπίδῃ θυμούμεθα,
*we at-least and-then at-Euripides are-angry*
οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;
*nothing having-suffered greater than we-have-done*
ΧΟΡΟΣ τουτὶ μέντοι θαυμαστόν,
*this-here however wonderful*
ὁπόθεν ηὑρέθη τὸ χρῆμα,
*whence was-found the thing*
χἤτις ἐξέθρεψε χώρα
*and-what reared land*
τήνδε τὴν θρασεῖαν οὕτω.
*this the bold so*

τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
*these for to-say the villainess*
κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
*in the open so shamelessly*
οὐκ ἂν ᾠόμην ἐν ἡμῖν
*not — I-would-have-thought among us*
οὐδὲ τολμῆσαί ποτ' ἄν.
*nor to-dare ever —*
ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη·
*but all-things may-happen — now*
τὴν παροιμίαν δ' ἐπαινῶ
*the proverb and I-praise*
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
*the old under stone for*
παντί που χρὴ
*every surely one-must*
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
*lest bite speaker to-look*
ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν
*but not for is than-the shameless by-nature women*
οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ' εἰ γυναῖκες.
*nothing worse in all-things except then if women*
ΓΥΝΗ Α′ οὔ τοι μὰ τὴν Ἄγλαυρον ὦ γυναῖκες εὖ φρονεῖτε,
*not surely by — Aglaurus O women well you-think*
ἀλλ' ἢ πεφάρμαχθ' ἢ κακόν τι μέγα πεπόνθατ' ἄλλο,
*but either you-are-bewitched or evil some great you-have-suffered other*
ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν
*this letting the pest such-things to-insult*
ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τις ἔστιν· εἰ δὲ μή, ἡμεῖς
*us all if indeed then anyone there-is if and not we*

αὐταί τε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι
*ourselves both and the little-slaves ashes from-somewhere taking*
ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ
*of-this we-will-depilate the pussy so-that she-may-be-taught*
γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.
*woman women being not badly to-speak the in-future*
ΜΝΗΣΙΛΟΧΟΣ μὴ δῆτα τόν γε χοῖρον ὦ γυναῖκες. εἰ γὰρ οὔσης
*not then the at-least pussy O women if for being*
παρρησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταί,
*freedom-of-speech and-it-being-allowed to-speak as-many-as are-present citizen-women*
εἶτ' εἶπον ἀγίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια,
*then I-said what-I-knew for Euripides just-things*
διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;
*because-of this being-plucked me must to-pay penalty by you*
ΓΥΝΗ Α′ οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας
*not for you must to-pay penalty who alone have-dared*
ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέδρακεν
*for man to-speak-in-reply who us many evils has-done*
ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ
*on-purpose finding stories where woman wicked*
ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε· Πηνελόπην δὲ
*was Melanippes making Phaedras and Penelope and*
οὐπώποτ' ἐποίησ', ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.
*never he-made because woman chaste seemed to-be*
ΜΝΗΣΙΛΟΧΟΣ ἐγὼ γὰρ οἶδα ταῖτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
*I for know the-cause one for not — you-could-name*
τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας δ' ἁπαξαπάσας.
*of-the now women Penelope Phaedras and all-together*

ΓΥΝΗ Α′ ἀκούετ᾽ ὦ γυναῖκες οἷ᾽ εἴρηκεν ἡ πανοῦργος
*hear O women what has-said the villainess*
ἡμᾶς ἁπάσας αὖθις αὖ. ΜΝΗΣΙΛΟΧΟΣ καὶ νὴ Δί᾽ οὐδέπω γε
*us all again in-turn and by Zeus not-yet at-least*
εἴρηχ᾽ ὅσα ξύνοιδ᾽· ἐπεὶ βούλεσθε πλείον᾽ εἴπω;
*have-I-said as-much-as I-know since you-wish more shall-I-say*
ΓΥΝΗ Α′ ἀλλ᾽ οὐκ ἂν ἔτ᾽ ἔχοις·
*but not — still you-could*
ὅσα γὰρ ᾔδησθ᾽ ἐξέχεας ἅπαντα.
*what for you-knew you-poured-out all*
555 ΜΝΗΣΙΛΟΧΟΣ μὰ Δί᾽ οὐδέπω τὴν μυριοστὴν
*by Zeus not-yet the ten-thousandth*
μοῖραν ὧν ποιοῦμεν.
*part of-what we-do*
ἐπεὶ τάδ᾽ οὐκ εἴρηχ᾽, ὁρᾷς, ὡς στλεγγίδας λαβοῦσαι
*since these not I-have-said you-see how strigils taking*
ἔπειτα σιφωνίζομεν τὸν οἶνον. ΓΥΝΗ Α′ ἐπιτριβείης.
*then we-siphon the wine may-you-be-crushed*
ΜΝΗΣΙΛΟΧΟΣ ὥς τ᾽ αὖ τὰ κρέ᾽ ἐξ Ἀπατουρίων
*how and in-turn the meats from Apaturia*
ταῖς μαστροποῖς διδοῦσαι
*to-the procuresses giving*
ἔπειτα τὴν γαλῆν φαμεν — ΓΥΝΗ Α′ τάλαιν᾽ ἐγώ· φλυαρεῖς.
*then the weasel we-say wretched I you-babble*
560 ΜΝΗΣΙΛΟΧΟΣ οὐδ᾽ ὡς τὸν ἄνδρα
*nor how the husband*
τῷ πελέκει γυνὴ κατεσπόδησεν,
*with-the axe wife smashed*
οὐκ εἶπον· οὐδ᾽ ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ᾽ ἔμηνεν,
*not I-said nor how with-drugs another the husband maddened*

οὐδ᾽ ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ᾽ — ΓΥΝΗ Α′ ἐξόλοιο.
*nor how under the bath-tub buried once may-you-perish*

ΜΝΗΣΙΛΟΧΟΣ ἀχαρνικὴ τὸν πατέρα.
*the-Acharnian-woman the father*

ΓΥΝΗ Α′ ταυτὶ δῆτ᾽ ἀνέκτ᾽ ἀκούειν;
*these-here then bearable to-hear*

ΜΝΗΣΙΛΟΧΟΣ οὐδ᾽ ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν εἶτα σαυτῇ
*nor how you the slave-girl having-borne male then for-yourself*

τοῦθ᾽ ὑπεβάλου, τὸ σὸν δὲ θυγάτριον παρῆκας αὐτῇ. 565
*this you-foisted the your and little-daughter gave-up to-her*

ΓΥΝΗ Α′ οὔ τοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί,
*not surely by the two-goddesses you will-get-off saying these-here*

ἀλλ᾽ ἐκποκιῶ σου τὰς ποκάδας.
*but I-will-comb-out of-you the fleeces*

ΜΝΗΣΙΛΟΧΟΣ οὐ δὴ μὰ Δία σύ γ᾽ ἅψει.
*not indeed by Zeus you at-least will-touch*

ΓΥΝΗ Α′ καὶ μὴν ἰδού. ΜΝΗΣΙΛΟΧΟΣ καὶ μὴν ἰδού.
*and truly look and truly look*

ΓΥΝΗ Α′ λαβὲ θοἰμάτιον Φιλίστη.
*take the-cloak Philiste*

ΜΝΗΣΙΛΟΧΟΣ πρόσθες μόνον, κἀγώ σε νὴ τὴν Ἄρτεμιν —
*attack only and-I you by — Artemis*

ΓΥΝΗ Α′ τί δράσεις;
*what will-you-do*

ΜΝΗΣΙΛΟΧΟΣ τὸν σησαμοῦνθ᾽ ὃν κατέφαγες, 570
*the sesame-cake which you-ate-up*

τοῦτον χεσεῖν ποιήσω.
*this to-shit I-will-make*

ΧΟΡΟΣ παύσασθε λοιδορούμεναι· καὶ γὰρ γυνή τις ἡμῖν
*stop abusing and for woman some to-us*
ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι,
*having-hurried runs-up before then together to-be*
σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.
*be-silent so-that from-her decorously we-may-learn what she-will-say*

## IV · CLEISTHENES' WARNING

*Cleisthenes brings word that Euripides has sent a kinsman in disguise. The women question each other, and the kinsman cannot answer the ritual questions. Stripped, he is found to be a man, and Cleisthenes goes to tell the prytanes while the women guard him.*

ΚΛΕΙΣΘΕΝΗΣ φίλαι γυναῖκες ξυγγενεῖς τοὐμοῦ τρόπου·
*dear women kindred of-the-my way*
575 ὅτι μὲν φίλος εἴμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις·
*that indeed friend I-am to-you plain from-the cheeks*
γυναικομανῶ γὰρ προξενῶ θ' ὑμῶν ἀεί.
*I-am-woman-mad for I-am-patron and of-you always*
καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
*and now having-heard matter about you great*
ὀλίγῳ τι πρότερον κατ' ἀγορὰν λαλούμενον,
*little somewhat earlier in market being-chattered*
ἥκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν, ἵνα
*I-come to-tell this to-report and to-you so-that*
580 σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ
*you-may-look and watch lest also befall*
ὑμῖν ἀφάρκτοις πρᾶγμα δεινὸν καὶ μέγα.
*you unfenced matter terrible and great*

ΧΟΡΟΣ τί δ' ἔστιν ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν,
*what and is-it O boy boy for you fitting to-call*
ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.
*while — so the cheeks smooth you-have*
ΚΛΕΙΣΘΕΝΗΣ Εὐριπίδην φάσ' ἄνδρα κηδεστήν τινα
*Euripides they-say man kinsman some*
αὑτοῦ γέροντα δεῦρ' ἀναπέμψαι τήμερον.
*of-himself old here to-have-sent-up today*
ΧΟΡΟΣ πρὸς ποῖον ἔργον ἢ τίνος γνώμης χάριν;
*for what work or of-what purpose for-the-sake*
ΚΛΕΙΣΘΕΝΗΣ ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
*so-that whatever you-might-plan and might-be-about to-do*
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.
*he might-be of-the words spy*
ΧΟΡΟΣ καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;
*and how has-be-escaped-notice among women being man*
ΚΛΕΙΣΘΕΝΗΣ ἀφηῦσεν αὐτὸν κἀπέτιλ' Εὐριπίδης
*singed him and-plucked Euripides*
καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν.
*and the-rest all like woman dressed*
ΜΝΗΣΙΛΟΧΟΣ πείθεσθε τούτῳ ταῦτα; τίς δ' οὕτως ἀνὴρ
*do-you-believe this-one this who and so man*
ἠλίθιος ὅστις τιλλόμενος ἠνείχετο;
*foolish who being-plucked endured*
οὐκ οἶομαι 'γωγ' ὦ πολυτιμήτω θεώ.
*not I-think I-at-least O much-honored two-goddesses*
ΚΛΕΙΣΘΕΝΗΣ ληρεῖς· ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
*you-babble I for not — would-have-come to-report*
εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.
*if not I-had-learned these from-those clearly knowing*

ΧΟΡΟΣ τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
*the matter this-here terrible is-announced*

ἀλλ' ὦ γυναῖκες οὐκ ἐλινύειν ἐχρῆν,
*but O women not to-loiter one-ought*

ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου
*but to-look-for the man and to-seek where*

600 λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος.
*he-has-escaped-notice-of us hidden sitting-in*

καὶ σὺ ξυνέξευρ' αὐτόν, ὡς ἂν τὴν χάριν
*and you help-find him so-that — the favor*

ταύτην τε κἀκείνην ἔχῃς ὦ πρόξενε.
*this both and-that you-may-have O patron*

ΚΛΕΙΣΘΕΝΗΣ φέρ' ἴδω· τίς ἡ πρώτη σύ;
*come let-me-see who the first you*

ΜΝΗΣΙΛΟΧΟΣ ποῖ τις τρέψεται;
*where one will-turn*

ΚΛΕΙΣΘΕΝΗΣ ζητητέαι γάρ ἐστε. ΜΝΗΣΙΛΟΧΟΣ κακοδαίμων ἐγώ.
*must-be-searched for you-are ill-starred I*

605 ΓΥΝΗ Α′ ἔμ' ἥτις εἶμ' ἤρου; Κλεωνύμου γυνή.
*me who I-am you-ask of-Cleonymus wife*

ΚΛΕΙΣΘΕΝΗΣ γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἥδ' ἡ γυνή;
*do-you-know you who is this the woman*

ΧΟΡΟΣ γιγνώσκομεν δῆτ'. ἀλλὰ τὰς ἄλλας ἄθρει.
*we-know then but the others look-over*

ΚΛΕΙΣΘΕΝΗΣ ἡδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον
*this-here and indeed who is the-one the child*

ἔχουσα; ΓΥΝΗ Α′ τίτθη νὴ Δί' ἐμή. ΜΝΗΣΙΛΟΧΟΣ διοίχομαι.
*holding nurse by Zeus my I-am-done-for*

610 ΚΛΕΙΣΘΕΝΗΣ αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν;
*you-there you where do-you-turn wait there what the evil*

ΜΝΗΣΙΛΟΧΟΣ ἔασον οὐρῆσαί μ'. ΚΛΕΙΣΘΕΝΗΣ ἀναίσχυντός τις εἶ.
*let to-piss me shameless someone you-are*

σὺ δ' οὖν ποίει τοῦτ'. ἀναμενῶ γὰρ ἐνθάδε.
*you and then do this I-will-wait for here*

ΧΟΡΟΣ ἀνάμενε δῆτα καὶ σκόπει γ' αὐτὴν σφόδρα·
*wait then and watch at-least her hard*

μόνην γὰρ αὐτὴν ὦνερ οὐ γιγνώσκομεν.
*alone for her O-man not we-know*

ΚΛΕΙΣΘΕΝΗΣ πολύν γε χρόνον οὐρεῖς σύ. 615
*long at-least time are-pissing you*

ΜΝΗΣΙΛΟΧΟΣ νὴ Δί' ὦ μέλε·
*by Zeus O friend*

στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.
*I-have-strangury for yesterday I-ate cress*

ΚΛΕΙΣΘΕΝΗΣ τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
*why do-you-cress not will-you-walk here to me*

ΜΝΗΣΙΛΟΧΟΣ τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν; ΚΛΕΙΣΘΕΝΗΣ εἰπέ μοι,
*why then me do-you-drag being-ill tell me*

τίς ἔστ' ἀνήρ σοι; ΜΝΗΣΙΛΟΧΟΣ τὸν ἐμὸν ἄνδρα πυνθάνει;
*who is husband to-you the my husband do-you-ask*

τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν; 620
*the what-d'you-call-him do-you-know the from Cothocidae*

ΚΛΕΙΣΘΕΝΗΣ τὸν δεῖνα; ποῖον;
*the what-d'you-call-him what*

ΜΝΗΣΙΛΟΧΟΣ ἔσθ' ὁ δεῖν', ὃς καί ποτε
*is the what-d'you-call-him who also once*

τὸν δεῖνα τὸν τοῦ δεῖνα —
*the what-d'you-call-him the of-the what-d'you-call-him*

ΚΛΕΙΣΘΕΝΗΣ ληρεῖν μοι δοκεῖς.
*to-babble to-me you-seem*

ἀνῆλθες ἤδη δεῦρο πρότερον; ΜΝΗΣΙΛΟΧΟΣ νὴ Δία
*did-you-come-up ever here before by Zeus*

ὁσέτη γε. ΚΛΕΙΣΘΕΝΗΣ καὶ τίς σοὐστὶ συσκηνήτρια;
*every-year at-least and who to-you-is tent-mate*

625 ΜΝΗΣΙΛΟΧΟΣ ἡ δεῖν' ἔμοιγ'.
*the what's-her-name to-me*

ΚΛΕΙΣΘΕΝΗΣ οἴμοι τάλας, οὐδὲν λέγεις.
*ah-me wretched nothing you-say*

ΓΥΝΗ Α′ ἄπελθ'. ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς
*go-away I for will-question this-one well*

ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι,
*from the rites the last-year's you and stand-away from-me*

ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπέ μοι
*so-that not you-overhear being man you and tell me*

ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
*what thing first to-us of-the rites was-shown*

630 ΜΝΗΣΙΛΟΧΟΣ φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.
*come let-me-see what however first was we-drank*

ΓΥΝΗ Α′ τί δὲ μετὰ τοῦτο δεύτερον; ΜΝΗΣΙΛΟΧΟΣ προὐπίνομεν.
*what and after this second we-drank-toasts*

ΓΥΝΗ Α′ ταυτὶ μὲν ἤκουσάς τινος· τί δαὶ τρίτον;
*these-here indeed you-heard from-someone what then third*

ΜΝΗΣΙΛΟΧΟΣ σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς.
*basin Xenylla asked not for was-there chamber-pot*
ΓΥΝΗ Α′ οὐδὲν λέγεις. δεῦρ' ἐλθὲ δεῦρ' ὦ Κλείσθενες·
*nothing you-say here come here O Cleisthenes*
ὅδ' ἐστὶν ἀνὴρ ὃν λέγεις. ΚΛΕΙΣΘΕΝΗΣ τί οὖν ποιῶ; 635
*this is the-man whom you-mean what then shall-I-do*
ΓΥΝΗ Α′ ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.
*strip him nothing sound for he-says*
ΜΝΗΣΙΛΟΧΟΣ κἄπειτ' ἀποδύσετ' ἐννέα παίδων μητέρα;
*and-then will-you-strip nine of-children mother*
ΚΛΕΙΣΘΕΝΗΣ χάλα ταχέως τὸ στρόφιον ὠναίσχυντε σύ.
*loosen quickly the breast-band O-shameless you*
ΓΥΝΗ Α′ ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·
*how also sturdy some she-appears and strong*
καὶ νὴ Δία τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει. 640
*and by Zeus breasts at-least like we not she-has*
ΜΝΗΣΙΛΟΧΟΣ στερίφη γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
*barren for I-am and-not I-conceived ever*
ΓΥΝΗ Α′ νῦν· τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα.
*now then and mother you-were of-children nine*
ΚΛΕΙΣΘΕΝΗΣ ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω;
*stand-up straight where the cock do-you-push down*
ΓΥΝΗ Α′ τοδὶ διέκυψε καὶ μάλ' εὔχρων ὦ τάλαν.
*this-here peeped-through and very good-colored O wretch*
ΚΛΕΙΣΘΕΝΗΣ καὶ ποῦ 'στιν; ΓΥΝΗ Α′ αὖθις ἐς τὸ πρόσθεν οἴχεται. 645
*and where is-it back to the front it-is-gone*
ΚΛΕΙΣΘΕΝΗΣ οὐκ ἐνγεταυθί. ΓΥΝΗ Α′ μᾶλλὰ δεῦρ' ἥκει πάλιν.
*not here-at-least but here it-comes back*

ΚΛΕΙΣΘΕΝΗΣ ἰσθμόν τιν᾽ ἔχεις ὦνθρωπ᾽· ἄνω τε καὶ κάτω
*isthmus some you-have O-man up both and down*
τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
*the cock you-drag more-often than-Corinthians*
ΓΥΝΗ Α′ ὦ μιαρὸς οὗτος· ταῦτ᾽ ἄρ᾽ ὑπὲρ Εὐριπίδου
*O foul this-fellow this then for Euripides*
ἡμῖν ἐλοιδορεῖτο. ΜΝΗΣΙΛΟΧΟΣ κακοδαίμων ἐγώ,
*to-us he-railed ill-starred I*
εἰς οἷ᾽ ἐμαυτὸν εἰσεκύλισα πράγματα.
*into what myself I-rolled-in affairs*
ΓΥΝΗ Α′ ἄγε δὴ τί δρῶμεν; ΚΛΕΙΣΘΕΝΗΣ τουτονὶ φυλάττετε
*come now what shall-we-do this-here guard*
καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται·
*well see-that not escaping he-will-be-gone*
ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.
*I and these to-the prytanes will-report*

## V · THE SEARCH

*The chorus searches the Pnyx for another man, warns that the gods punish the impious, and finds none.*

ΧΟΡΟΣ ἡμᾶς τοίνυν μετὰ τοῦτ᾽ ἤδη
*us well-then after this now*
τὰς λαμπάδας ἁψαμένας χρὴ
*the torches having-lit one-must*
ξυζωσαμένας εὖ κἀνδρείως τῶν θ᾽ ἱματίων ἀποδύσας
*having-girded-up well and-manfully of-the and cloaks having-stripped*
ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἀνελήλυθε, καὶ περιθρέξαι
*to-seek if anywhere also-other any man has-come-up and to-run-around*

τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους διαθρῆσαι.
— *Pnyx all and the tents and the passages to-search-through*
εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα
*come-on now very-first indeed one-must light to-set-out foot*
καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μόνον δὲ χρὴ
*and to-look-around in-silence everywhere only and one-must*
μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
*not to-be-slow since the moment is not to-delay still*
ἀλλὰ τὴν πρώτην τρέχειν χρῆν ὡς τάχιστ᾽ ἤδη κύκλῳ.
*but the first to-run one-must as quickly-as-possible now in-circle*
εἶά νυν ἴχνευε καὶ μάτευε ταχὺ πάντ᾽,
*come-on now track and search quickly everything*
εἴ τις ἐν τόποις ἑδραῖος
*if anyone in places seated*
ἄλλος αὖ λέληθεν ὤν.
*other in-turn has-escaped-notice being*
πανταχῇ δὲ ῥῖψον ὄμμα,
*everywhere and cast eye*
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο
*and the here and the there*
πάντ᾽ ἀνασκόπει καλῶς.
*all look-over well*
ἢν γάρ με λάθῃ δράσας ἀνόσια,
*if for me escapes having-done unholy-things*
δώσει τε δίκην καὶ πρὸς τούτῳ
*he-will-pay both penalty and besides this*
τοῖς ἄλλοις ἀνδράσιν ἔσται
*to-the other men he-will-be*
παράδειγμ᾽ ὕβρεως ἀδίκων τ᾽ ἔργων
*example of-insolence of-unjust and deeds*

ἀθέων τε τρόπων·
*of-godless and ways*
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
*he-will-say and to-be both gods manifestly*
δείξει τ' ἤδη
*will-show and now*
πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας ***
*to-all men to-revere gods (lacuna)*
675 †δικαίως τ' ἐφέποντας† ὅσια καὶ νόμιμα
*justly and pursuing holy-things and lawful-things*
μηδομένους ποιεῖν ὅ τι καλῶς ἔχει.
*planning to-do what thing well is*
κἂν μὴ ποιῶσι ταῦτα τοιάδ' ἔσται·
*and-if not they-do these such-things will-be*
αὐτῶν ὅταν ληφθῇ τις ἀνόσιόν τι δρῶν,
*of-them when is-caught anyone unholy something doing*
680 †μανίαις† φλέγων λύσσῃ παράκοπος,
*with-madnesses blazing with-frenzy deranged*
†εἴ τι δρῴη†
*if anything he-should-do*
πᾶσιν ἐμφανὴς ὁρᾶν ἔσται γυναιξὶ καὶ βροτοῖσιν,
*to-all manifest to-see will-be to-women and to-mortals*
ὅτι τά τε παράνομα τά τ' ἀνόσια παρὼν
*that the both lawless-things the and unholy present*
685 θεὸς ἀποτίνεται.
*god punishes*
ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά τως διεσκέφθαι καλῶς.
*but it-seems to-us all-things somehow to-have-been-searched well*
οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον.
*not we-see at-least still other none sitting-in*

*The kinsman snatches a woman's baby and threatens to kill it on the altar.*

ΓΥΝΗ Α′ ἆ ποῖ σὺ φεύγεις; οὗτος οὗτος οὐ μενεῖς;
*ah where you do-you-flee you you not will-you-stay*

τάλαιν' ἐγὼ τάλαινα, καὶ τὸ παιδίον
*wretched I wretched and the child*

ἐξαρπάσας μοι φροῦδος ἀπὸ τοῦ τιτθίου.
*having-snatched from-me is-gone from the breast*

ΜΝΗΣΙΛΟΧΟΣ κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς,
*shout this and never you will-feed*

ἢν μή μ' ἀφῇτ'· ἀλλ' ἐνθάδ' ἐπὶ τῶν μηρίων
*if not me you-let-go but here on the thigh-bones*

πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
*struck with-knife this bloody veins*

καθαιματώσει βωμόν. ΓΥΝΗ Α′ ὦ τάλαιν' ἐγώ.
*will-bloody altar O wretched I*

γυναῖκες, οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
*women not will-you-help not great shout*

στήσεσθε καὶ τροπαῖον, ἀλλὰ τοῦ μόνου
*will-you-raise and trophy but of-the only*

τέκνου με περιόψεσθ' ἀποστερουμένην;
*child me will-you-overlook being-robbed*

*The women denounce his shamelessness and send for wood to burn him.*

ΧΟΡΟΣ ἔα ἔα.

*ha ha*

ὦ πότνιαι Μοῖραι τί τόδε δέρκομαι

*O lady Fates what this do-I-see*

νεοχμὸν αὖ τέρας;

*new in-turn portent*

ὡς ἅπαντ' ἄρ' ἐστὶ τόλμης μεστὰ κἀναισχυντίας.

*how all then are of-daring full and-of-shamelessness*

οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ φίλαι τόδε.

*what in-turn he-has-done deed what in-turn friends this*

ΜΝΗΣΙΛΟΧΟΣ οἷον ὑμῶν ἐξαράξω τὴν ἄγαν αὐθαδίαν.

*how of-you I-will-knock-out the too-great self-will*

ΧΟΡΟΣ ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαιτέρω;

*these then not terrible affairs are and further*

ΓΥΝΗ Α′ δεινὰ δῆθ', ὅστις γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.

*terrible then who at-least has of-me having-snatched the child*

ΧΟΡΟΣ τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε

*what — then could-say to these one when*

τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;

*such-things doing this is-shameless*

ΜΝΗΣΙΛΟΧΟΣ κοὔπω μέντοι γε πέπαυμαι.

*and-not-yet however at-least I-have-stopped*

ΓΥΝΗ Α′ ἀλλ' οὖν ἥκεις γ' ὅθεν οὐ φαύλως γ'

*but then you-have-come at-least whence not easily at-least*

ἀποδρὰς λέξεις

*having-escaped you-will-say*

οἷον δράσας διέδυς ἔργον,
*what having-done you-slipped-in deed*
λήψει δὲ κακόν.
*you-will-get and evil*
ΜΝΗΣΙΛΟΧΟΣ τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.
*this however not may-it-happen by-no-means I-pray-away*
ΧΟΡΟΣ τίς οὖν σοι, τίς ἂν σύμμαχος ἐκ θεῶν
*who then to-you who — ally from gods*
ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;
*immortal could-come with unjust deeds*
ΜΝΗΣΙΛΟΧΟΣ μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.
*idly you-chatter her and I not will-let-go*
ΧΟΡΟΣ ἀλλ' οὐ μὰ τὼ θεὼ τάχ' οὐ χαίρων ἴσως
*but not by the two-goddesses soon not rejoicing perhaps*
ἐνυβριεῖς λόγους λέξεις τ' ἀνοσίους
*you-will-insult words you-will-speak and unholy*
ἐπ' ἀθέοις ἔργοις·
*on godless deeds*
καὶ γὰρ ἀνταμειψόμεσθά σ' ὥσπερ εἰκὸς ἀντὶ τῶνδε.
*and for we-will-repay you as fitting for these*
τάχα δὲ μεταβαλοῦσ' ἐπὶ κακὸν ἑτερότροπον
*soon and changing to evil other-turning*
ἐπέχει τύχη.
*holds fortune*
ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν σ' ἐκφέρειν τε τῶν ξύλων,
*but these indeed to-take one-must you to-bring-out and of-the wood*
καὶ καταίθειν τὸν πανοῦργον πυρπολεῖν θ' ὅσον τάχος.
*and to-burn the villain to-set-on-fire and as-much speed*

*The baby turns out to be a wineskin in Persian slippers. The kinsman stabs it, gives the mother its blood, and tosses her the skin as the priestess's due. Left guarded, he tries Euripides'* Palamedes *trick, carving messages on votive tablets for want of oars.*

ΓΥΝΗ Α′ ἴωμεν ἐπὶ τὰς κληματίδας ὦ Μανία.
*let-us-go for the vine-twigs O Mania*
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.
*and-I you will-show ember today*
730 ΜΝΗΣΙΛΟΧΟΣ ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν
*kindle and burn you and the Cretan*
ἀπόδυθι ταχέως· τοῦ θανάτου δ' ὦ παιδίον
*take-off quickly of-the death and O child*
μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.
*alone of-women blame the mother*
τουτὶ τί ἔστιν; ἀσκὸς ἐγένεθ' ἡ κόρη
*this-here what is-it wineskin has-become the girl*
οἴνου πλέως καὶ ταῦτα Περσικὰς ἔχων.
*of-wine full and this Persian-slippers having*
735 ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται
*O hottest women O drinkingest*
κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν,
*and-from every-means you contriving to-drink*
ὦ μέγα καπήλοις ἀγαθὸν ἡμῖν δ' αὖ κακόν,
*O great for-tavern-keepers good to-us and in-turn evil*
κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.
*evil and also for-the utensils and for-the woof*
ΓΥΝΗ Α′ παράβαλλε πολλὰς κληματίδας ὦ Μανία.
*throw-on many vine-twigs O Mania*

ΜΝΗΣΙΛΟΧΟΣ παράβαλλε δῆτα· σὺ δ' ἀπόκριναί μοι τοδί,
*throw-on then you and answer me this-here*
τουτὶ τεκεῖν φῄς; ΓΥΝΗ Α′ καὶ δέκα μῆνας αὖτ' ἐγὼ
*this-here to-have-borne you-say and ten months it I*
ἤνεγκον. ΜΝΗΣΙΛΟΧΟΣ ἤνεγκας σύ; ΓΥΝΗ Α′ νὴ τὴν Ἄρτεμιν.
*carried you-carried you by — Artemis*
ΜΝΗΣΙΛΟΧΟΣ τρικότυλον ἢ πῶς; εἰπέ μοι. ΓΥΝΗ Α′ τί μ' ἠργάσω;
*three-half-pint or how tell me what me have-you-done*
ἀπέδυσας ὦναίσχυντέ μου τὸ παιδίον
*you-stripped O-shameless my the child*
τυννοῦτον ὄν. ΜΝΗΣΙΛΟΧΟΣ τυννοῦτο; ΓΥΝΗ Α′ μικρὸν νὴ Δία.
*so-tiny being so-tiny small by Zeus*
ΜΝΗΣΙΛΟΧΟΣ πόσ' ἔτη δὲ γέγονε; τρεῖς Χοᾶς ἢ τέτταρας;
*how-many years and has-it-been three Pitchers or four*
ΓΥΝΗ Α′ σχεδὸν τοσοῦτον χὥσον ἐκ Διονυσίων.
*nearly so-much and-as-much-as from Dionysia*
ἀλλ' ἀπόδος αὐτό. ΜΝΗΣΙΛΟΧΟΣ μὰ τὸν Ἀπόλλω τουτονί.
*but give-back it by — Apollo this-here*
ΓΥΝΗ Α′ ἐμπρήσομεν τοίνυν σε.
*we-will-burn well-then you*
ΜΝΗΣΙΛΟΧΟΣ πάνυ γ' ἐμπίμπρατε·
*very at-least burn*
αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.
*she and will-be-slaughtered very at-once*
ΓΥΝΗ Α′ μὴ δῆθ', ἱκετεύω σ'· ἀλλ' ἔμ' ὅ τι χρῄζεις ποίει
*not then I-beg you but me what thing you-want do*
ὑπέρ γε τούτου. ΜΝΗΣΙΛΟΧΟΣ φιλότεκνός τις εἶ φύσει.
*for at-least this child-loving someone you-are by-nature*
ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται
*but nothing less she will-be-slaughtered*

ΓΥΝΗ Α′ οἴμοι τέκνον. δός μοι σφαγεῖον Μανία,
*ah-me child give me bowl Mania*

ἵν᾽ οὖν τό γ᾽ αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.
*so-that then the at-least blood of-the child the-my I-may-catch*

ΜΝΗΣΙΛΟΧΟΣ ὕπεχ᾽ αὐτό, χαριοῦμαι γὰρ ἔν γε τοῦτό σοι.
*hold-under it I-will-grant for one at-least this to-you*

ΓΥΝΗ Α′ κακῶς ἀπόλοι᾽, ὡς φθονερὸς εἶ καὶ δυσμενής.
*badly may-you-perish how grudging you-are and hostile*

ΜΝΗΣΙΛΟΧΟΣ τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.
*this-here the skin of-the priestess becomes*

ΓΥΝΗ Α′ τί τῆς ἱερείας γίγνεται; ΜΝΗΣΙΛΟΧΟΣ τουτί. λαβέ.
*what of-the priestess becomes this-here take*

ΓΥΝΗ Γ′ ταλαντάτη Μίκκα τίς ἐξεκόρησέ σε;
*most-wretched Mikka who deflowered you*

ΓΥΝΗ Α′ ὁ πανοῦργος οὗτος. ἀλλ᾽ ἐπειδήπερ πάρει,
*the villain this but since-indeed you-are-here*

φύλαξον αὐτόν, ἵνα λαβοῦσα Κλεισθένη
*guard him so-that taking Cleisthenes*

τοῖσιν πρυτάνεσιν ἃ πεποίηχ᾽ οὗτος φράσω.
*to-the prytanes what has-done this-man I-may-tell*

ΜΝΗΣΙΛΟΧΟΣ ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
*come now what will-be device of-salvation*

τίς πεῖρα, τίς ἐπίνοι᾽; ὁ μὲν γὰρ αἴτιος
*what attempt what idea the indeed for to-blame*

κἄμ᾽ ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα
*and-me having-rolled-in into such-here affairs*

οὐ φαίνεταί πω. φέρε τίν᾽ οὖν ἂν ἄγγελον
*not appears yet come what then — messenger*

πέμψαιμ᾽ ἐπ᾽ αὐτόν; οἶδ᾽ ἐγὼ καὶ δὴ πόρον
*could-I-send to him I-know I and indeed way*

ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος, τὰς πλάτας
*from the Palamedes as he the oars*
ῥίψω γράφων. ἀλλ᾽ οὐ πάρεισιν αἱ πλάται.
*I-will-throw writing but not are-present the oars*
πόθεν οὖν γένοιντ᾽ ἄν μοι πλάται πόθεν; πόθεν;
*whence then could-come — to-me oars whence whence*
τί δ᾽ ἂν εἰ ταδὶ τἀγάλματ᾽ ἀντὶ τῶν πλατῶν
*what and — if these-here the-images instead-of the oars*
γράφων διαρρίπτοιμι; βέλτιον πολύ.
*writing I-should-throw-about better by-far*
ξύλον γέ τοι καὶ ταῦτα κἀκεῖν᾽ ἦν ξύλον.
*wood at-least surely also these and-those were wood*
ὦ χεῖρες ἐμαὶ
*O hands my*
ἐγχειρεῖν χρῆν ἔργῳ πορίμῳ.
*to-take-in-hand one-must work resourceful*
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
*come now of-tablets smoothed tablets*
δέξασθε σμίλης ὀλκοὺς
*receive of-knife furrows*
κήρυκας ἐμῶν μόχθων· οἴμοι
*heralds of-my toils ah-me*
τουτὶ τὸ ῥῶ μοχθηρόν·
*this-here the rho troublesome*
χώρει χώρει. ποίαν αὔλακα;
*go go what furrow*
βάσκετ᾽ ἐπείγετε πάσας καθ᾽ ὁδοὺς
*go hurry all along roads*
κείνᾳ ταύτᾳ· ταχέως χρή.
*that-way this-way quickly one-must*

*The chorus asks why men marry women if women are an evil, and why they guard them so jealously. Comparing names, they find women better, charge men with theft and with losing spear and parasol on campaign, and propose honor for a brave son's mother, shearing for a coward's, and no interest for Hyperbolus' mother.*

785 ΧΟΡΟΣ ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι,
*we well-then us ourselves well let-us-speak-of having-come-forward*
καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
*and-yet every one the female race evil-things many says*
ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν ἅπαντα,
*that all we-are evil to-men and-from us are all*
ἔριδες νείκη στάσις ἀργαλέα λύπη πόλεμος. φέρε δή νυν,
*quarrels strifes faction grievous grief war come indeed now*
εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς,
*if evil we-are why do-you-marry us*
εἴπερ ἀληθῶς κακόν ἐσμεν,
*if-indeed truly evil we-are*
790 κἀπαγορεύετε μήτ' ἐξελθεῖν μήτ' ἐκκύψασαν ἁλῶναι,
*and-forbid neither to-go-out nor peeping-out to-be-caught*
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
*but so with-much eagerness the evil you-wish to-guard*
κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
*and-if goes-out the little-wife somewhere and-then you-find her out-of-doors*
μανίας μαίνεσθ', οἷς χρῆν σπένδειν καὶ χαίρειν,
*madnesses you-rave who ought to-pour-libations and to-rejoice*
εἴπερ ἀληθῶς
*if-indeed truly*

ἔνδοθεν ηὕρετε φροῦδον τὸ κακὸν
*from-inside you-found gone the evil*
καὶ μὴ κατελαμβάνετ᾽ ἔνδον.
*and not you-caught inside*
κἂν καταδάρθωμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι,
*and-if we-fall-asleep in others' playing and tired*
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περινοστῶν.
*every one the evil this seeks about the couches going-around*
κἂν ἐκ θυρίδος παρακύπτωμεν, τὸ κακὸν ζητεῖτε θεᾶσθαι·
*and-if from window we-peep-out the evil you-seek to-behold*
κἂν αἰσχυνθεῖσ᾽ ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
*and-if ashamed she-withdraws much more every-one desires*
αὖθις τὸ κακὸν παρακύψαν ἰδεῖν. οὕτως ἡμεῖς ἐπιδήλως
*again the evil having-peeped-out to-see so we plainly*
ὑμῶν ἐσμεν πολὺ βελτίους, βάσανός τε πάρεστιν ἰδέσθαι.
*than-you are much better test and is-at-hand to-see*
βάσανον δῶμεν πότεροι χείρους. ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς,
*test let-us-give which worse we indeed for say you*
ὑμεῖς δ᾽ ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον,
*you and us let-us-look then and-set-against to each*
παραβάλλουσαι τῆς τε γυναικὸς
*comparing of-the both woman*
καὶ τἀνδρὸς τοὔνομ᾽ ἑκάστου.
*and of-the-man the-name of-each*
Ναυσιμάχης μέν γ᾽ ἥττων ἐστὶν Χαρμῖνος·
*than-Nausimache indeed at-least worse is Charminus*
δῆλα δὲ τἄργα.
*plain and the-deeds*

καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων
*and indeed now also Cleophon worse*
πάντως δήπου Σαλαβακχοῦς.
*altogether surely than-Salabaccho*
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ,
*with Aristomache and for-time long*
πρὸς ἐκείνην τὴν Μαραθῶνι,
*with that the at-Marathon*
καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν.
*and Stratonice of-you no-one even attempts to-fight*
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων
*but than-Eubule of-the last-year's some councilor is better*
παραδοὺς ἑτέρῳ τὴν βουλείαν;
*having-handed-over to-another the councilorship*
οὐδ' αὐτὸς τοῦτό γε φήσεις.
*nor yourself this at-least will-say*
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
*so we much better than-the men claim to-be*
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
*nor — having-stolen woman with-a-cart by fifty talents*
ἐς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται
*into city would-come of-the public-funds but if the greatest she-filches*
φορμὸν πυρῶν τἀνδρὸς κλέψασ', αὐθημερὸν αὖτ' ἀπέδωκεν.
*basket of-wheat of-the-husband having-stolen the-same-day it she-gives-back*
ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
*but we — many of-these*
ἀποδείξαιμεν ταῦτα ποιοῦντας.
*could-show these doing*
καὶ πρὸς τούτοις γάστριδας ἡμῶν
*and besides these gluttons than-us*

ὄντας μᾶλλον καὶ λωποδύτας
*being more and clothes-strippers*
καὶ βωμολόχους κἀνδραποδιστάς.
*and buffoons and-slave-dealers*
καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε
*and indeed surely also the ancestral at-least*
χείρους ἡμῶν εἰσιν σῴζειν·
*worse than-us they-are to-keep*
ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
*to-us indeed for safe still also now*
τἀντίον ὁ κανὼν οἱ καλαθίσκοι
*the-beam the weaving-rod the baskets*
τὸ σκιάδειον·
*the parasol*
τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις
*to-the and our men these*
ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν
*has-perished indeed for-many the weaving-rod*
ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ,
*from the houses with-the-very spearhead*
πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
*for-many and others from the shoulders*
ἐν ταῖς στρατιαῖς
*in the campaigns*
ἔρριπται τὸ σκιάδειον.
*is-thrown-away the parasol*
πόλλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἄν
*many-things — the women we in justice might-blame —*
τοῖσιν ἀνδράσιν δικαίως, ἓν δ' ὑπερφυέστατον.
*the men justly one and most-monstrous*

χρῆν γάρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
*one-ought for of-us if bore someone man useful to-the city*
ταξίαρχον ἢ στρατηγόν, λαμβάνειν τιμήν τινα,
*taxiarch or general to-get honor some*
προεδρίαν τ᾽ αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις
*front-seat and to-her to-be-given at-Stenia and Scira*
ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἷσιν ἡμεῖς ἤγομεν·
*in and the other festivals which we celebrated*
εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνή,
*if and cowardly and wicked man some bore woman*
ἢ τριήραρχον πονηρὸν ἢ κυβερνήτην κακόν,
*or trierarch wicked or helmsman bad*
ὑστέραν αὐτὴν καθῆσθαι σκάφιον ἀποκεκαρμένην
*behind her to-sit basin shorn*
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκὸς ὦ πόλις
*her the brave having-borne how for fitting O city*
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ᾽ ἠμφιεσμένην
*the of-Hyperbolus to-sit mother clothed*
λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου,
*in-white and hair let-down near the of-Lamachus*
καὶ δανείζειν χρήμαθ᾽, ᾗ χρῆν, εἰ δανείσειέν τινι
*and to-lend money to-whom one-ought if she-lent to-anyone*
καὶ τόκον πράττοιτο, διδόναι μηδέν᾽ ἀνθρώπων τόκον,
*and interest exacted to-give no-one of-men interest*
ἀλλ᾽ ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ᾽ εἰπόντας τοδί,
*but to-take-away by-force the money saying this-here*
"ἀξία γοῦν εἶ τόκου τεκοῦσα τοιοῦτον τόκον."
*worthy at-least you-are of-interest having-borne such offspring*

*When Euripides does not come, the kinsman plays his new* Helen*, and Euripides arrives as Menelaus, shipwrecked in Egypt. Over the jeers of the woman guarding him the two recognize each other in Euripides' lines, but a prytanis comes with an archer, Euripides slips away, and the kinsman is bound to a plank in his woman's gown.*

ΜΝΗΣΙΛΟΧΟΣ ἰλλὸς γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω.
*cross-eyed I-have-become waiting he and not-yet*
τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως
*what then — could-be the-obstacle not it-is how*
οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
*not the Palamedes cold being he-is-ashamed-of*
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
*with-what then — him might-I-bring play*
ἐγῷδα· τὴν καινὴν Ἑλένην μιμήσομαι. 850
*I-know the new Helen I-will-imitate*
πάντως ὑπάρχει μοι γυναικεία στολή.
*in-any-case is-at-hand to-me woman's dress*
ΓΥΝΗ Γ′ τί αὖ σὺ κυρκανᾷς; τί κοικύλλεις ἔχων;
*what in-turn you stir-up why do-you-goggle having*
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μὴ κοσμίως
*bitter Helen you-will-see soon if not decently*
ἕξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.
*you-behave until — of-the prytanes someone appears*
ΜΝΗΣΙΛΟΧΟΣ Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί, 855
*of-Nile indeed these fair-maidened streams*
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
*who instead-of divine drizzle of-Egypt plain*

λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
*white moistens black-purging people*

ΓΥΝΗ Γ′ πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
*villain you-are by — Hecate the light-bearing*

ΜΝΗΣΙΛΟΧΟΣ ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
*to-me and land indeed fatherland not nameless*

Σπάρτη, πατὴρ δὲ Τυνδάρεως. ΓΥΝΗ Γ′ σοί γ' ὦλεθρε
*Sparta father and Tyndareus to-you at-least O-destruction*

πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.
*father that-one is Phrynondas indeed rather*

ΜΝΗΣΙΛΟΧΟΣ Ἑλένη δ' ἐκλήθην. ΓΥΝΗ Γ′ αὖθις αὖ γίγνει γυνή,
*Helen and I-was-called again in-turn you-become woman*

πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;
*before of-the other to-give woman-playing penalty*

ΜΝΗΣΙΛΟΧΟΣ ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
*souls and many because-of me by Scamandrian*

ῥοαῖσιν ἔθανον. ΓΥΝΗ Γ′ ὤφελες δὲ καὶ σύ γε.
*streams died you-ought and also you at-least*

ΜΝΗΣΙΛΟΧΟΣ κἀγὼ μὲν ἐνθάδ' εἶμ'· ὁ δ' ἄθλιος πόσις
*and-I indeed here am the and wretched husband*

οὑμὸς Μενέλαος οὐδέπω προσέρχεται.
*the-my Menelaus not-yet approaches*

τί οὖν ἔτι ζῶ; ΓΥΝΗ Γ′ τῶν κοράκων πονηρίᾳ.
*why then still do-I-live of-the crows by-wickedness*

ΜΝΗΣΙΛΟΧΟΣ ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν.
*but as-if fawns something heart my*

μὴ ψεῦσον ὦ Ζεῦ τῆς ἐπιούσης ἐλπίδος.
*not deceive O Zeus of-the coming hope*

ΕΥΡΙΠΙΔΗΣ τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,
*who of-these fortified halls holds power*
ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ
*who strangers would-receive by-sea surge*
κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις;
*toiling in storm and shipwrecks*
ΜΝΗΣΙΛΟΧΟΣ Πρωτέως τάδ' ἐστὶ μέλαθρα.
*of-Proteus these are halls*
ΕΥΡΙΠΙΔΗΣ ποίου Πρωτέως;
*what Proteus*
ΓΥΝΗ Γ′ ὦ τρισκακόδαιμον, ψεύδεται νὴ τὼ θεώ,
*O thrice-ill-starred he-lies by the two-goddesses*
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
*since died Proteas years ten*
ΕΥΡΙΠΙΔΗΣ ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;
*what and land have-we-put-in-to with-ship*
ΜΝΗΣΙΛΟΧΟΣ Αἴγυπτον. ΕΥΡΙΠΙΔΗΣ ὦ δύστηνος οἷ πεπλώκαμεν.
*Egypt O wretched where we-have-sailed*
ΓΥΝΗ Γ′ πείθει τι τούτῳ τῷ κακῶς ἀπολουμένῳ
*do-you-believe something this the badly to-perish*
ληροῦντι λῆρον; Θεσμοφορεῖον τουτογί.
*babbling babble Thesmophorium this-here*
ΕΥΡΙΠΙΔΗΣ αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ' ἢ 'ξώπιος;
*himself and Proteus inside is or outside*
ΓΥΝΗ Γ′ οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ' ὦ ξένε,
*not it-is how not you-are-seasick still O stranger*
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας
*who at-least having-heard that died Proteas*
ἔπειτ' ἐρωτᾷς "ἔνδον ἔστ' ἢ 'ξώπιος;"
*then you-ask inside is-he or outside*

ΕΥΡΙΠΙΔΗΣ αἰαῖ τέθνηκε. ποῦ δ' ἐτυμβεύθη τάφῳ;
*alas he-died where and was-he-buried in-grave*

ΜΝΗΣΙΛΟΧΟΣ τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.
*this is of-him tomb on which we-sit*

ΓΥΝΗ Γ′ κακῶς τ' ἄρ' ἐξόλοιο κἀξολεῖ γέ τοι,
*badly and then may-you-perish and-you-will-perish at-least surely*

ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
*who at-least dare tomb the altar to-call*

ΕΥΡΙΠΙΔΗΣ τί δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας
*why indeed you sit-at these tomb seats*

φάρει καλυπτὸς ὦ ξένη; ΜΝΗΣΙΛΟΧΟΣ βιάζομαι
*by-cloak covered O stranger I-am-forced*

γάμοισι Πρωτέως παιδὶ συμμεῖξαι λέχος.
*in-marriage of-Proteus to-son to-join bed*

ΓΥΝΗ Γ′ τί ὦ κακόδαιμον ἐξαπατᾷς αὖ τὸν ξένον;
*why O ill-starred do-you-deceive in-turn the stranger*

οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν ὦ ξένε
*this-one villain-wise here came-up O stranger*

ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.
*to the women for theft of-the gold*

ΜΝΗΣΙΛΟΧΟΣ βάυζε τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.
*bark the-my body pelting with-blame*

ΕΥΡΙΠΙΔΗΣ ξένη τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;
*stranger who the old-woman the abusing you*

ΜΝΗΣΙΛΟΧΟΣ αὕτη Θεονόη Πρωτέως. ΓΥΝΗ Γ′ μὰ τὼ θεὼ
*this Theonoe of-Proteus by the two-goddesses*

εἰ μὴ Κρίτυλλά γ' Ἀντιθέου Γαργηττόθεν·
*if not Critylla at-least of-Antitheus from-Gargettus*

σὺ δ' εἶ πανοῦργος. ΜΝΗΣΙΛΟΧΟΣ ὁπόσα τοι βούλει λέγε.
*you and are villain as-many-as surely you-wish say*

οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτὲ 900
*not for I-shall-marry your brother ever*

προδοῦσα Μενέλεων τὸν ἐμὸν ἐν Τροίᾳ πόσιν.
*having-betrayed Menelaus the my in Troy husband*

ΕΥΡΙΠΙΔΗΣ γύναι τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
*woman what did-you-say turn gleaming eyes*

ΜΝΗΣΙΛΟΧΟΣ αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
*I-am-ashamed-before you the cheeks outraged*

ΕΥΡΙΠΙΔΗΣ τουτὶ τί ἔστιν; ἀφασία τίς τοί μ' ἔχει.
*this-here what is-it speechlessness some surely me holds*

ὦ θεοὶ τίν' ὄψιν εἰσορῶ; τίς εἶ γύναι; 905
*O gods what sight do-I-see who are-you woman*

ΜΝΗΣΙΛΟΧΟΣ σὺ δ' εἶ τίς; αὐτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.
*you and are who the-same for you and-me holds word*

ΕΥΡΙΠΙΔΗΣ Ἑλληνὶς εἶ τις ἢ 'πιχωρία γυνή;
*Greek are-you some or native woman*

ΜΝΗΣΙΛΟΧΟΣ Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
*Greek but also the yours I-wish to-learn*

ΕΥΡΙΠΙΔΗΣ Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον γύναι.
*to-Helen you like indeed most I-saw woman*

ΜΝΗΣΙΛΟΧΟΣ ἐγὼ δὲ Μενελάῳ σ' ὅσα γ' ἐκ τῶν ἰφύων. 910
*I and to-Menelaus you as-far-as at-least from the rushes*

ΕΥΡΙΠΙΔΗΣ ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον.
*you-recognized then rightly man most-unfortunate*

ΜΝΗΣΙΛΟΧΟΣ ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐσχάρας
*O late having-come to-your wife's hearth*

λαβέ με λαβέ με πόσι, περίβαλε δὲ χέρας.
*take me take me husband put-around and arms*

φέρε σὲ κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγ' ἄπαγέ με
*come you let-me-kiss lead-away me lead-away lead-away lead-away me*
λαβὼν ταχὺ πάνυ. ΓΥΝΗ Γ′ κλαύσετ' ἄρα νὴ τὼ θεὼ
*having-taken quickly very he-will-weep then by the two-goddesses*
ὅστις σ' ἀπάξει τυπτόμενος τῇ λαμπάδι.
*whoever you will-lead-away being-struck with-the torch*
ΕΥΡΙΠΙΔΗΣ σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ,
*you the my wife hinder me*
τὴν Τυνδάρειον παῖδ', ἐπὶ Σπάρτην ἄγειν;
*the Tyndarean child to Sparta to-take*
ΓΥΝΗ Γ′ οἴμ' ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς
*ah-me how villain and-yourself to-be to-me you-seem*
καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
*and of-this some adviser not for-nothing long-since*
ἠγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.
*you-were-Egyptianizing but this-one indeed will-pay penalty*
προσέρχεται γὰρ ὁ πρύτανις χὠ τοξότης.
*approaches for the prytanis and-the archer*
ΕΥΡΙΠΙΔΗΣ τουτὶ πονηρόν· ἀλλ' ὑπαποκινητέον.
*this-here bad but must-slip-away*
ΜΝΗΣΙΛΟΧΟΣ ἐγὼ δ' ὁ κακοδαίμων τί δρῶ;
*I and the ill-starred what shall-I-do*
ΕΥΡΙΠΙΔΗΣ μέν' ἥσυχος.
*stay quiet*
οὐ γὰρ προδώσω σ' οὐδέποτ', ἥνπερ ἐμπνέω,
*not for I-will-betray you ever as-long-as I-breathe*
ἢν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί.
*if not fail the ten-thousand me devices*
ΜΝΗΣΙΛΟΧΟΣ αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.
*this indeed the line nothing drew*

ΠΡΥΤΑΝΙΣ ὅδ' ἔσθ' ὁ πανοῦργος ὃν ἔλεγ' ἡμῖν Κλεισθένης;
*this is the villain whom told us Cleisthenes*
οὗτος τί κύπτεις; δῆσον αὐτὸν εἰσάγων
*you why do-you-stoop bind him leading-in*
ὦ τοξότ' ἐν τῇ σανίδι, κἄπειτ' ἐνθαδὶ
*O archer on the plank and-then here*
στήσας φύλαττε καὶ προσιέναι μηδένα
*having-set guard and to-approach no-one*
ἔα πρὸς αὐτόν, ἀλλὰ τὴν μάστιγ' ἔχων
*let to him but the whip having*
παῖ' ἤν προσίῃ τις. ΓΥΝΗ Γ′ νὴ Δί' ὡς νῦν δή γ' ἀνὴρ
*strike if approaches anyone by Zeus since now indeed at-least man*
ὀλίγου μ' ἀφείλετ' αὐτὸν ἱστιορράφος.
*nearly me took-away him sail-stitcher*
ΜΝΗΣΙΛΟΧΟΣ ὦ πρύτανι πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς
*O prytanis by the right-hand which-indeed you-love*
κοίλην προτείνειν ἀργύριον ἤν τις διδῷ,
*hollow to-hold-out silver if anyone gives*
χάρισαι βραχύ τί μοι καίπερ ἀποθανουμένῳ.
*grant small something to-me although about-to-die*
ΠΡΥΤΑΝΙΣ τί σοι χαρίσωμαι; ΜΝΗΣΙΛΟΧΟΣ γυμνὸν ἀποδύσαντά με
*what to-you shall-I-grant naked having-stripped me*
κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην,
*bid at the plank to-bind the archer*
ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
*so-that not in saffron-gowns and headbands old man*
γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
*laughter I-provide to-the crows feasting*

ΠΡΥΤΑΝΙΣ ἔχοντα ταῦτ' ἔδοξε τῇ βουλῇ σε δεῖν,
*having these it-seemed-good to-the council you to-bind*
ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.
*so-that to-the passers-by plain you-may-be villain being*
ΜΝΗΣΙΛΟΧΟΣ ἰαππαπαιάξ· ὦ κροκώθ' οἷ' εἴργασαι·
*oh-oh-oh O saffron-gown what-things you-have-done*
κοὐκ ἔστ' ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.
*and-not is still hope none of-salvation*

## XI · THE FESTIVAL DANCE

*The chorus dances in a ring and sings the Olympian gods: Apollo, Artemis, Hera, Hermes, Pan, the Nymphs, and Dionysus.*

ΧΟΡΟΣ ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ
*come now we let-us-play what-indeed*
νόμος ἐνθάδε ταῖσι γυναιξίν,
*custom here for-the women*
ὅταν ὄργια σεμνὰ θεοῖν ἱεραῖς
*when rites holy of-the-two-goddesses in-holy*
ὥραις ἀνέχωμεν, ἅπερ καὶ
*seasons we-hold which-indeed also*
Παύσων σέβεται καὶ νηστεύει,
*Pauson reveres and fasts*
πολλάκις αὐτοῖν ἐκ τῶν ὡρῶν
*often to-them from the seasons*
ἐς τὰς ὥρας ξυνεπευχόμενος
*for the seasons praying-with*
τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
*such-things to-be-a-care often to-himself*

ὅρμα χώρει·
*start go*
κοῦφα ποσὶν ἄγ᾽ ἐς κύκλον,
*lightly with-feet lead into circle*
χειρὶ σύναπτε χεῖρα,
*with-hand join hand*
ῥυθμὸν χορείας ὕπαγε πᾶσα·
*rhythm of-dance lead every-one*
βαῖνε καρπαλίμοιν ποδοῖν.
*step with-swift feet*
ἐπισκοπεῖν δὲ πανταχῇ
*to-look-around and everywhere*
κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
*circling eye one-must of-dance formation*
ἅμα δὲ καὶ
*at-once and also*
γένος Ὀλυμπίων θεῶν
*race of-Olympian gods*
μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
*sing and honor with-voice every-one in-dance-mad way*
εἰ δέ τις
*if and anyone*
προσδοκᾷ κακῶς ἐρεῖν
*expects badly to-speak*
ἐν ἱερῷ γυναῖκά μ᾽ οὖσαν ἄνδρας, οὐκ ὀρθῶς φρονεῖ.
*in holy woman me being men not rightly thinks*
ἀλλὰ χρῆν
*but one-ought*
ὥσπερ ἔργον αὖ τι καινὸν
*as-if work in-turn some new*

πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.
*first of-well-circled dance graceful to-set step*
πρόβαινε ποσὶ τὸν εὐλύραν
*step-forward with-feet the lyre-god*
μέλπουσα καὶ τὴν τοξοφόρον
*singing and the bow-bearing*
Ἄρτεμιν ἄνασσαν ἁγνήν.
*Artemis queen pure*
χαῖρ᾽ ὦ ἑκάεργε,
*hail O far-worker*
ὄπαζε δὲ νίκην·
*grant and victory*
Ἥραν δὲ τὴν τελείαν
*Hera and the fulfilling*
μέλψωμεν ὥσπερ εἰκός,
*let-us-sing as fitting*
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ
*who in-all the choruses plays both and*
κλῆδας γάμου φυλάττει.
*keys of-marriage guards*
Ἑρμῆν τε νόμιον ἄντομαι
*Hermes and of-pastures I-entreat*
καὶ Πᾶνα καὶ Νύμφας φίλας
*and Pan and Nymphs dear*
ἐπιγελάσαι προθύμως
*to-smile-upon eagerly*
ταῖς ἡμετέραισι
*the our*
χαρέντα χορείαις.
*rejoicing in-dances*

ἔξαιρε δὴ προθύμως
*lift-up indeed eagerly*
διπλῆν χάριν χορείας.
*double grace of-dance*
παίσωμεν ὦ γυναῖκες οἷάπερ νόμος,
*let-us-play O women such-as custom*
νηστεύωμεν δὲ πάντως.
*let-us-fast and in-any-case*
ἀλλ' εἶα πάλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδί, 985
*but heave whirl turn with-rhythmic foot*
τόρευε πᾶσαν ᾠδήν·
*turn-out every song*
ἡγοῦ δέ γ' ὧδ' αὐτὸς σὺ
*lead and at-least so yourself you*
κισσοφόρε Βάκχειε
*ivy-bearing Bacchus*
δέσποτ'· ἐγὼ δὲ κώμοις
*master I and in-revels*
σὲ φιλοχόροισι μέλψω.
*you with-dance-loving will-sing*
εὔιον ὦ Διόνυσε 990
*euios O Dionysus*
Βρόμιε καὶ Σεμέλας παῖ,
*Bromius and of-Semele son*
χοροῖς τερπόμενος
*in-choruses delighting*
κατ' ὄρεα νυμφᾶν †ἐρατοῖσ† ἐν ὕμνοις,
*along mountains of-nymphs lovely in hymns*
εὔιον εὔιον εὐοῖ
*euios euios euoi*

*** ἀναχορεύων.
*(lacuna)* *dancing*
995 ἀμφὶ δὲ σοὶ κτυπεῖται
*around* *and* *you* *resounds*
Κιθαιρώνιος ἠχώ,
*of-Cithaeron* *echo*
μελάμφυλλά τ᾽ ὄρη
*black-leaved* *and* *mountains*
δάσκια καὶ νάπαι πετρώδεις βρέμονται·
*shady* *and* *glens* *rocky* *roar*
κύκλῳ δὲ περὶ σὲ κισσὸς
*in-circle* *and* *around* *you* *ivy*
1000 εὐπέταλος ἕλικι θάλλει.
*fair-leaved* *with-tendril* *flourishes*

## XII · ANDROMEDA

*The kinsman, bound on the plank under a Scythian archer, plays Euripides'* Andromeda*, and Euripides answers first as Echo, mocking the archer, and then as Perseus. The archer is not fooled by poetry and refuses to release the "maiden," and Euripides leaves to devise another plan.*

ΤΟΞΟΤΗΣ ἐνταῦτα νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.
*there* *now* *you-will-wail* *to* *the* *air*
ΜΝΗΣΙΛΟΧΟΣ ὦ τοξόθ᾽ ἱκετεύω σε. ΤΟΞΟΤΗΣ μή μ᾽ ἱκετεῦσι σύ.
*O* *archer* *I-beg* *you* *not* *me* *beg* *you*
ΜΝΗΣΙΛΟΧΟΣ χάλασον τὸν ἦλον. ΤΟΞΟΤΗΣ ἀλλὰ ταῦτα δρᾶσ᾽ ἐγώ.
*loosen* *the* *nail* *but* *this* *will-do* *I*
ΜΝΗΣΙΛΟΧΟΣ οἴμοι κακοδαίμων, μᾶλλον ἐπικρούεις σύ γε.
*ah-me* *ill-starred* *more* *you-hammer* *you* *at-least*

ΤΟΞΟΤΗΣ ἔτι μᾶλλο βοῦλις; ΜΝΗΣΙΛΟΧΟΣ ἀτταταῖ ἰατταταῖ·
*still more you-want ow oh-ow*

κακῶς ἀπόλοιο. ΤΟΞΟΤΗΣ σῖγα κακοδαίμων γέρον.
*badly may-you-perish silence ill-starred old-man*

πέρ' ἐγὼ 'ξινίγκι πορμός, ἵνα πυλάξι σοι.
*come I will-bring-out mat so-that I-may-guard you*

ΜΝΗΣΙΛΟΧΟΣ ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
*these-here the best I-have-reaped of-Euripides*

ἔα· θεοί, Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
*ha gods Zeus savior there-are hopes*

ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι
*the-man seems not to-betray but to-me*

σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμών,
*sign hinted Perseus running-out*

ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν· πάντως δέ μοι
*that must me to-become Andromeda in-any-case and for-me*

τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν τοῦτ' ἔσθ' ὅτι
*the bonds are-at-hand plain then this is that*

ἥξει με σώσων· οὐ γὰρ ἂν παρέπτετο.
*he-will-come me to-save not for — he-would-have-flown-by*

ΕΥΡΙΠΙΔΗΣ φίλαι παρθένοι φίλαι, πῶς ἂν οὖν
*dear maidens dear how — then*

ἐπέλθοιμι καὶ
*might-I-come and*

τὸν Σκύθην λάθοιμι;
*the Scythian escape-notice*

κλύεις; ὦ πρὸς αἰδοῦς σὲ τὰν ἐν ἄντροις,
*do-you-hear O by modesty you the in caves*

κατάνευσον, ἔασον ὡς
*nod-assent let to*

τὴν γυναῖκά μ᾽ ἐλθεῖν.
*the wife me to-go*

ΜΝΗΣΙΛΟΧΟΣ ἄνοικτος ὅς μ᾽ ἔδησε τὸν
*pitiless who me bound the*

πολυστονώτατον βροτῶν·
*most-lamenting of-mortals*

μόλις δὲ γραῖαν ἀποφυγὼν
*hardly and old-woman having-escaped*

σαπρὰν ἀπωλόμην ὅμως.
*rotten I-was-ruined nevertheless*

ὅδε γὰρ ὁ Σκύθης πάλαι μοι φύλαξ
*this for the Scythian long-since for-me guard*

ἐφεστὼς ὀλοὸν ἄφιλον ἐκρέμασεν
*standing-over deadly friendless has-hung*

κόραξι δεῖπνον. ὁρᾷς; οὐ
*for-crows dinner you-see not*

χοροῖσιν οὐδ᾽ ὑφ᾽ ἡλίκων νεανίδων
*in-choruses nor among age-mate maidens*

κημὸν ἕστηκ᾽ ἔχουσ᾽,
*voting-funnel I-stand having*

ἀλλ᾽ ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη
*but in thick bonds entangled*

κήτει βορὰ Γλαυκέτῃ πρόκειμαι,
*for-sea-monster food Glaucetes I-am-set-out*

γαμηλίῳ μὲν οὐ ξὺν
*with-wedding indeed not with*

παιῶνι δεσμίῳ δὲ
*paean with-bondage and*

γοᾶσθέ μ᾽ ὦ γυναῖκες, ὡς
*lament me O women as*

μέλεα μὲν πέπονθα μέλεος,
*miserable-things indeed I-have-suffered miserable*
ὦ τάλας ἐγὼ τάλας,
*O wretched I wretched*
ἀπὸ δὲ συγγόνων τάλαν᾽ ἄνομα πάθεα,
*from and kin wretched lawless sufferings*
φῶτά τε λιτομέναν, πολυδάκρυτον Ἀΐδα
*man and beseeching tearful of-Hades*
γόον †φεύγουσαν†
*wail fleeing*
αἰαῖ αἰαῖ ἒ ἒ,
*alas alas eh eh*
ὃς ἔμ᾽ ἀπεξύρησε πρῶτον,
*who me shaved first*
ὃς ἐμὲ κροκόεντ᾽ ἐνέδυσεν·
*who me saffron dressed*
ἐπὶ δὲ τοῖσδ᾽ ἐς τόδ᾽ ἀνέπεμψεν
*upon and these to this sent-up*
ἱερόν, ἔνθα γυναῖκες.
*temple where women*
ἰώ μοι μοίρας ἄτεγκτε δαίμων·
*oh me of-fate pitiless god*
ὦ κατάρατος ἐγώ·
*O accursed I*
τίς ἐμὸν οὐκ ἐπόψεται
*who my not will-look-upon*
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
*suffering unenviable at evils' presence*
εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ —
*would-that me fire-bearing of-aether star*

τὸν βάρβαρον ἐξολέσειεν.
*the barbarian might-destroy*

οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
*not for still immortal flame to-see*

ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην,
*is to-me dear since I-was-hung*

λαιμότμητ' ἄχη δαιμόνων αἰόλαν
*throat-cutting griefs of-gods swift*

νέκυσιν ἐπὶ πορείαν.
*to-corpses on journey*

ΕΥΡΙΠΙΔΗΣ χαῖρ' ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα
*hail O dear girl the and father Cepheus*

ὅς σ' ἐξέθηκεν ἀπολέσειαν οἱ θεοί.
*who you exposed may-destroy the gods*

ΜΝΗΣΙΛΟΧΟΣ σὺ δ' εἶ τίς ἥτις τοὐμὸν ᾤκτιρας πάθος;
*you and are who that the-my pitied suffering*

ΕΥΡΙΠΙΔΗΣ Ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάστρια,
*Echo of-words answering-singer mocking-repeater*

ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ
*who-indeed last-year in this the-same place*

Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
*to-Euripides and-I helped-compete*

ἀλλ' ὦ τέκνον σὲ μὲν τὸ σαυτῆς χρὴ ποιεῖν,
*but O child you indeed the your-own must to-do*

κλάειν ἐλεινῶς. ΜΝΗΣΙΛΟΧΟΣ σὲ δ' ἐπικλάειν ὕστερον.
*to-weep pitiably you and to-weep-after later*

ΕΥΡΙΠΙΔΗΣ ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἄρχου λόγων.
*to-me will-be-a-care this at-least but begin of-words*

ΜΝΗΣΙΛΟΧΟΣ ὦ νὺξ ἱερὰ
*O night holy*

ὡς μακρὸν ἵππευμα διώκεις
*how long ride you-pursue*

ἀστεροειδέα νῶτα διφρεύουσ'
*starry backs driving*

αἰθέρος ἱερᾶς
*of-aether holy*

τοῦ σεμνοτάτου δι' Ὀλύμπου;
*the most-august through Olympus*

ΕΥΡΙΠΙΔΗΣ δι' Ὀλύμπου.
*through Olympus*

ΜΝΗΣΙΛΟΧΟΣ τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
*why ever Andromeda beyond-others of-evils*

μέρος ἐξέλαχον — ΕΥΡΙΠΙΔΗΣ μέρος ἐξέλαχον —
*portion got-by-lot portion got-by-lot*

ΜΝΗΣΙΛΟΧΟΣ θανάτου τλήμων; ΕΥΡΙΠΙΔΗΣ θανάτου τλήμων;
*of-death wretched of-death wretched*

ΜΝΗΣΙΛΟΧΟΣ ἀπολεῖς μ' ὦ γραῦ στωμυλλομένη.
*you-will-kill me O old-woman chattering*

ΕΥΡΙΠΙΔΗΣ στωμυλλομένη.
*chattering*

ΜΝΗΣΙΛΟΧΟΣ νὴ Δί' ὀχληρά γ' εἰσήρρηκας
*by Zeus troublesome at-least you-have-burst-in*

λίαν. ΕΥΡΙΠΙΔΗΣ λίαν.
*too too*

ΜΝΗΣΙΛΟΧΟΣ ὦγάθ' ἔασόν με μονῳδῆσαι,
*good-woman let me to-sing-alone*

καὶ χαριεῖ μοι. παῦσαι. ΕΥΡΙΠΙΔΗΣ παῦσαι.
*and you-will-grant to-me stop stop*

ΜΝΗΣΙΛΟΧΟΣ βάλλ' ἐς κόρακας. ΕΥΡΙΠΙΔΗΣ βάλλ' ἐς κόρακας.
*throw to crows* *throw to crows*

ΜΝΗΣΙΛΟΧΟΣ τί κακόν; ΕΥΡΙΠΙΔΗΣ τί κακόν;
*what evil* *what evil*

ΜΝΗΣΙΛΟΧΟΣ ληρεῖς. ΕΥΡΙΠΙΔΗΣ ληρεῖς.
*you-babble* *you-babble*

ΜΝΗΣΙΛΟΧΟΣ οἴμωζ'. ΕΥΡΙΠΙΔΗΣ οἴμωζ'.
*wail* *wail*

ΜΝΗΣΙΛΟΧΟΣ ὀτότυζ'. ΕΥΡΙΠΙΔΗΣ ὀτότυζ'.
*cry-woe* *cry-woe*

ΤΟΞΟΤΗΣ οὗτος σί λαλῖς; ΕΥΡΙΠΙΔΗΣ οὗτος σί λαλῖς;
*you what you-chatter* *you what you-chatter*

ΤΟΞΟΤΗΣ πρυτάνεις καλέσω; ΕΥΡΙΠΙΔΗΣ πρυτάνεις καλέσω;
*prytanes I-will-call* *prytanes I-will-call*

ΤΟΞΟΤΗΣ σί κακόν; ΕΥΡΙΠΙΔΗΣ σί κακόν;
*what evil* *what evil*

ΤΟΞΟΤΗΣ πῶτε τὸ πωνή; ΕΥΡΙΠΙΔΗΣ πῶτε τὸ πωνή;
*whence the voice* *whence the voice*

ΤΟΞΟΤΗΣ σὺ λαλῖς; ΕΥΡΙΠΙΔΗΣ σὺ λαλῖς;
*you chatter* *you chatter*

ΤΟΞΟΤΗΣ κλαύσει. ΕΥΡΙΠΙΔΗΣ κλαύσει.
*you-will-weep* *you-will-weep*

ΤΟΞΟΤΗΣ κακκάσκι μοι; ΕΥΡΙΠΙΔΗΣ κακκάσκι μοι;
*she-mocks me* *she-mocks me*

ΜΝΗΣΙΛΟΧΟΣ μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὕτη.
*by Zeus but woman near this*

ΕΥΡΙΠΙΔΗΣ πλησίον αὕτη.
*near this*

ΤΟΞΟΤΗΣ ποῦ ’στ’ ἡ μιαρά; καὶ δὴ πεύγει.
*where is the foul and indeed she-flees*
ποῖ ποῖ πεύγεις; ΕΥΡΙΠΙΔΗΣ ποῖ ποῖ πεύγεις;
*where where do-you-flee where where do-you-flee*
ΤΟΞΟΤΗΣ οὐ καιρήσεις; ΕΥΡΙΠΙΔΗΣ οὐ καιρήσεις;
*not you-will-rejoice not you-will-rejoice*
ΤΟΞΟΤΗΣ ἔτι γὰρ γρύζεις; ΕΥΡΙΠΙΔΗΣ ἔτι γὰρ γρύζεις;
*still for you-grunt still for you-grunt*
ΤΟΞΟΤΗΣ λαβὲ τὴ μιαρά. ΕΥΡΙΠΙΔΗΣ λαβὲ τὴ μιαρά.
*catch the foul catch the foul*
ΤΟΞΟΤΗΣ λάλο καὶ κατάρατο γύναικο.
*chattering and accursed woman*
ΕΥΡΙΠΙΔΗΣ ὦ θεοὶ τίν’ ἐς γῆν βαρβάρων ἀφίγμεθα
*O gods what to land of-barbarians have-we-come*
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
*with-swift sandal through middle for of-aether*
τέμνων κέλευθον πόδα τίθημ’ ὑπόπτερον
*cutting path foot I-set winged*
Περσεὺς πρὸς Ἄργος ναυστολῶν τὸ Γοργόνος
*Perseus to Argos voyaging the of-Gorgon*
κάρα κομίζων. ΤΟΞΟΤΗΣ τί λέγι; τὴ Γόργος πέρι
*head bringing what say the of-Gorgos you-carry*
τὸ γραμματέο σὺ τὴ κεπαλή; ΕΥΡΙΠΙΔΗΣ τὴν Γοργόνος
*the of-the-clerk you the head the of-Gorgon*
ἔγωγε φημί. ΤΟΞΟΤΗΣ Γόργο τοι κἀγὼ λέγι.
*I-at-least say Gorgos surely and-I say*
ΕΥΡΙΠΙΔΗΣ ἔα· τίν’ ὄχθον τόνδ’ ὁρῶ καὶ παρθένον
*ha what headland this do-I-see and maiden*
θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;
*to-goddesses like ship like moored*

ΜΝΗΣΙΛΟΧΟΣ ὦ ξένε κατοίκτιρόν με τὴν παναθλίαν,
*O stranger pity me the all-wretched*
λῦσόν με δεσμῶν. ΤΟΞΟΤΗΣ οὐκὶ μὶ λαλῆσι σύ;
*loose me from-bonds not not chatter you*
κατάρατο τολμᾷς ἀποτανουμένη λαλᾷς;
*accursed you-dare about-to-die you-chatter*
ΕΥΡΙΠΙΔΗΣ ὦ παρθέν' οἰκτίρω σὲ κρεμαμένην ὁρῶν.
*O maiden I-pity you hanging seeing*
ΤΟΞΟΤΗΣ οὐ παρτέν' ἐστίν, ἀλλ' ἁμαρτωλὴ γέρων
*not maiden it-is but sinful old-man*
καὶ κλέπτο καὶ πανοῦργο. ΕΥΡΙΠΙΔΗΣ ληρεῖς ὦ Σκύθα.
*and thief and villain you-babble O Scythian*
αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως.
*this for is Andromeda child of-Cepheus*
ΤΟΞΟΤΗΣ σκέψαι τὸ κύστο· μή τι μικτὸν παίνεται;
*look the cunt not some small appears*
ΕΥΡΙΠΙΔΗΣ φέρε δεῦρό μοι τὴν χεῖρ', ἵν' ἅψωμαι κόρης·
*bring here to-me the hand so-that I-may-touch the-maiden*
φέρε Σκύθ'· ἀνθρώποισι γὰρ νοσήματα
*come Scythian for-men for diseases*
ἅπασίν ἐστιν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης
*for-all are me and and-myself of-the maiden*
ταύτης ἔρως εἴληφεν. ΤΟΞΟΤΗΣ οὐ ζηλῶσί σε·
*this love has-seized not I-envy you*
ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον,
*but if the ass here turned-around*
οὐκ ἐπτόνησά σ' αὐτὸ πυγίζεις ἄγων.
*not I-grudge you it to-bugger leading*

ΕΥΡΙΠΙΔΗΣ τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτὴν ὦ Σκύθα
*why and not do-you-let having-loosed me her O Scythian*
πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος;
*to-fall into bed and bridal couch*
ΤΟΞΟΤΗΣ εἰ σπόδρ' ἐπιτυμεῖς τὴ γέροντο πύγισο,
*if very you-desire the old-man bugger*
τὴ σανίδο τρήσας ἐξόπιστο πρώκτισον.
*the plank having-bored from-behind ass-fuck*
ΕΥΡΙΠΙΔΗΣ μὰ Δί' ἀλλὰ λύσω δεσμά. ΤΟΞΟΤΗΣ μαστιγῶ σ' ἄρα. 1125
*by Zeus but I-will-loose bonds I-will-whip you then*
ΕΥΡΙΠΙΔΗΣ καὶ μὴν ποιήσω τοῦτο. ΤΟΞΟΤΗΣ τὸ κεπαλή σ' ἄρα
*and truly I-will-do this the head you then*
τὸ ξιπομάκαιραν ἀποκεκόψι τουτοϊ.
*the sword-knife will-cut-off this-here*
ΕΥΡΙΠΙΔΗΣ αἰαῖ· τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
*alas what shall-I-do to what shall-I-turn words*
ἀλλ' οὐ γὰρ ἂν δέξαιτο βάρβαρος φύσις.
*but not for — would-accept barbarian nature*
σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ 1130
*to-the-stupid for surely new-things bringing clever*
μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ
*in-vain you-would-spend — but other some*
τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
*to-this fitting device must-be-applied*
ΤΟΞΟΤΗΣ μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζί μοι.
*foul fox how he-plays-the-ape to-me*
ΜΝΗΣΙΛΟΧΟΣ μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.
*remember Perseus me how you-leave wretched*
ΤΟΞΟΤΗΣ ἔτι γὰρ σὺ τὴ μάστιγαν ἐπιτυμεῖς λαβεῖν; 1135
*still for you the whip you-desire to-get*

*The chorus calls Pallas and the two goddesses to their festival.*

ΧΟΡΟΣ Παλλάδα τὴν φιλόχορον ἐμοὶ
*Pallas the dance-loving for-me*
δεῦρο καλεῖν νόμος ἐς χορόν,
*here to-call custom to chorus*
παρθένον ἄζυγα κούρην,
*maiden unyoked girl*
ἣ πόλιν ἡμετέραν ἔχει
*who city our holds*
καὶ κράτος φανερὸν μόνη
*and power manifest alone*
κληδοῦχός τε καλεῖται.
*key-holder and is-called*
φάνηθ' ὦ τυράννους
*appear O tyrants*
στυγοῦσ' ὥσπερ εἰκός.
*hating as fitting*
δῆμός τοί σε καλεῖ γυναικῶν·
*people surely you calls of-women*
ἔχουσα δέ μοι μόλοις
*having and to-me may-you-come*
εἰρήνην φιλέορτον.
*peace festival-loving*
ἥκετ' εὔφρονες ἵλαοι,
*come kindly gracious*
πότνιαι, ἄλσος ἐς ὑμέτερον,
*ladies grove to your*

οὗ δὴ ἀνδράσιν οὐ θέμις εἰσορᾶν 1150
*where indeed for-men not lawful to-behold*
ὄργια σεμνὰ θεοῖν, ἵνα λαμπάσι
*rites holy of-the-two-goddesses where with-torches*
φαίνετον ἄμβροτον ὄψιν.
*you-two-show immortal sight*
μόλετον ἔλθετον, ἀντόμεθ' ὦ
*come-you-two come-you-two we-beseech O*
Θεσμοφόρω πολυποτνία,
*Two-Thesmophoroi much-revered*
εἰ καὶ πρότερόν ποτ' ἐπηκόω 1155
*if even before ever hearkening*
ἦλθετον, ἔλθετε νῦν, ἀφίκεσθ' ἱκετεύομεν
*you-two-came come now arrive we-supplicate*
ἐνθάδε χἠμῖν.
*here and-to-us*

## XIV · THE ESCAPE

*Euripides offers the women a truce: he will never slander them again if they release his kinsman. Disguised as an old woman, he brings a dancing-girl to distract the archer, who goes off with her, leaving his quiver behind. Euripides frees his kinsman, and the women send the archer running the wrong way after Artemisia.*

ΕΥΡΙΠΙΔΗΣ γυναῖκες εἰ βούλεσθε τὸν λοιπὸν χρόνον 1160
*women if you-wish the remaining time*
σπονδὰς ποιήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα,
*truce to-make with me now is-possible*
ἐφ' ᾧτ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ
*on condition-that to-hear nothing from me ever*

κακὸν τὸ λοιπόν. ταῦτ' ἐπικηρυκεύομαι.
*evil the in-future this I-propose-as-herald*

ΧΟΡΟΣ χρείᾳ δὲ ποίᾳ τόνδ' ἐπεσφέρεις λόγον;
*from-need and what this do-you-bring-in speech*

ΕΥΡΙΠΙΔΗΣ ὅδ' ἐστὶν οὑν τῇ σανίδι κηδεστὴς ἐμός.
*this is the-one-on the plank kinsman my*

ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μή ποτε
*if then I-recover this-one nothing not ever*

κακῶς ἀκούσητ'· ἢν δὲ μὴ πίθησθέ μοι,
*badly will-you-hear if and not you-obey me*

ἃ νῦν ὑποικουρεῖτε τοῖσιν ἀνδράσιν
*what now you-keep-house-secretly to-the husbands*

ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
*from the campaign being-present of-you I-will-denounce*

ΧΟΡΟΣ τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα·
*the indeed from us know for-you persuaded*

τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.
*the barbarian and this yourself persuade you*

ΕΥΡΙΠΙΔΗΣ ἐμὸν ἔργον ἐστίν· καὶ σὸν ὦλάφιον ἅ σοι
*my task is and yours O-little-fawn what to-you*

καθ' ὁδὸν ἔφραζον ταῦτα μεμνῆσθαι ποιεῖν.
*on way I-told these to-remember to-do*

πρῶτον μὲν οὖν δίελθε κἀνακάλπασον.
*first indeed then pass-through and-tuck-up*

σὺ δ' ὦ Τερηδὼν ἐπαναφύσα Περσικόν.
*you and O Teredon play-up Persian*

ΤΟΞΟΤΗΣ τί τὸ βόμβο τοῦτο; κῶμο τίς ἀνεγεῖρί μοι
*what the buzzing this revel who wakes-up me*

ΕΥΡΙΠΙΔΗΣ ἡ παῖς ἔμελλε προμελετᾶν ὦ τοξότα.
*the girl was-about to-rehearse O archer*
ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.
*to-dance for she-comes to men some*
ΤΟΞΟΤΗΣ ὀρκῆσι καὶ μελετῆσι, οὐ κωλύσ' ἐγώ.
*she-will-dance and rehearse not will-hinder I*
ὡς ἐλαπρός, ὥσπερ ψύλλο κατὰ τὸ κῴδιο.
*how light like flea on the fleece*
ΕΥΡΙΠΙΔΗΣ φέρε θοἰμάτιον ἄνωθεν ὦ τέκνον τοδί·
*bring the-cloak from-above O child this-here*
καθιζομένη δ' ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου
*sitting and on the knees of-the Scythian*
τὼ πόδε πρότεινον, ἵν' ὑπολύσω. ΤΟΞΟΤΗΣ ναῖκι ναὶ
*the two-feet hold-out so-that I-may-take-off-the-shoes yes yes*
κάτησο κάτησο, ναῖκι ναῖκι τυγάτριον.
*sit-down sit-down yes yes little-daughter*
οἴμ' ὡς στέριπο τὸ τιττί', ὥσπερ γογγύλη.
*ah-me how firm the titty like turnip*
ΕΥΡΙΠΙΔΗΣ αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;
*play you quicker still do-you-fear the Scythian*
ΤΟΞΟΤΗΣ καλό γε τὸ πυγή. κλαῦσί γ' ἂν μὴ 'νδον μένῃς.
*fine at-least the buttock you-will-weep at-least if not inside you-stay*
ἀνακύπτι καὶ παρακύπτι ἀπεψωλημένος·
*peeps-up and peeps-out skinned-back*
εἶεν· καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.
*well fine the shape around the little-cock*
ΕΥΡΙΠΙΔΗΣ καλῶς ἔχει. λαβὲ θοἰμάτιον· ὥρα 'στὶ νῷν
*well it-is take the-cloak time is for-us-two*
ἤδη βαδίζειν. ΤΟΞΟΤΗΣ οὐκὶ πιλῆσι πρῶτά με;
*now to-walk not to-kiss first me*

ΕΥΡΙΠΙΔΗΣ πάνυ γε· φίλησον αὐτόν. ΤΟΞΟΤΗΣ ὦ ὦ ὦ παπαπαῖ,
*very at-least kiss him oh oh oh pa-pa-pa-pai*
ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλις.
*how sweet the tongue like Attic honey*
τί οὐ κατεύδει παρ' ἐμέ; ΕΥΡΙΠΙΔΗΣ χαῖρε τοξότα,
*why not sleep by me farewell archer*
οὐ γὰρ γένοιτ' ἂν τοῦτο. ΤΟΞΟΤΗΣ ναὶ ναὶ γρᾴδιο.
*not for could-happen — this yes yes little-old-woman*
ἐμοὶ κάρισο σὺ τοῦτο. ΕΥΡΙΠΙΔΗΣ δώσεις οὖν δραχμήν;
*to-me grant you this will-you-give then drachma*
ΤΟΞΟΤΗΣ ναὶ ναῖκι δῶσι. ΕΥΡΙΠΙΔΗΣ τἀργύριον τοίνυν φέρε.
*yes yes I-will-give the-money well-then bring*
ΤΟΞΟΤΗΣ ἀλλ' οὐκ ἔκωδέν· ἀλλὰ τὸ συβήνην λαβέ.
*but not I-have-nothing but the quiver take*
ΕΥΡΙΠΙΔΗΣ ἔπειτα †κομίζεις αὐτοῖς.† ΤΟΞΟΤΗΣ ἀκολούτι τέκνον.
*then you-will-bring-back to-them follow child*
σὺ δὲ τοῦτο τήρει τὴ γέροντο, γρᾴδιο.
*you and this watch the old-man little-old-woman*
ὄνομα δέ σοι τί ἔστιν; ΕΥΡΙΠΙΔΗΣ Ἀρτεμισία.
*name and to-you what is-it Artemisia*
ΤΟΞΟΤΗΣ μεμνῆσι τοίνυν τοὔνομ'· Ἀρταμουξία.
*I-will-remember well-then the-name Artamouxia*
ΕΥΡΙΠΙΔΗΣ Ἑρμῆ δόλιε ταυτὶ μὲν ἔτι καλῶς ποιεῖς.
*Hermes crafty these-here indeed still well you-do*
σὺ μὲν οὖν ἀπότρεχε παιδάριον τουτὶ λαβών·
*you indeed rather run-off little-boy this-here having-taken*
ἐγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς
*I and will-loose this-one you and see-that manfully*
ὅταν λυθῇς τάχιστα θεύξει καὶ τενεῖς
*when you-are-loosed quickest you-will-run and will-head*

ὡς τὴν γυναῖκα καὶ τὰ παιδί᾽ οἴκαδε.
*to the wife and the children home*

ΜΝΗΣΙΛΟΧΟΣ ἐμοὶ μελήσει ταῦτά γ᾽ ἢν ἅπαξ λυθῶ.
*to-me will-be-a-care these at-least if once I-am-loosed*

ΕΥΡΙΠΙΔΗΣ λέλυσο. σὸν ἔργον, φεῦγε πρὶν τὸν τοξότην
*you-are-loosed your task flee before the archer*

ἥκοντα καταλαβεῖν. ΜΝΗΣΙΛΟΧΟΣ ἐγὼ δὴ τοῦτο δρῶ.
*coming to-catch I indeed this do*

ΤΟΞΟΤΗΣ ὦ γράδι᾽ ὡς καρίεντό σοι τὸ τυγάτριον, 1210
*O little-old-woman how charming to-you the little-daughter*

κοὐ δύσκολ᾽ ἀλλὰ πρᾶο. ποῦ τὸ γράδιο;
*and-not peevish but gentle where the little-old-woman*

οἴμ᾽ ὡς ἀπόλωλο· ποῦ τὸ γέροντ᾽ ἐντευτενί;
*ah-me how I-am-lost where the old-man from-here-here*

ὦ γράδι᾽, ὦ γρᾷ. οὐκ ἐπαινῶ γράδιο.
*O little-old-woman O old-woman not I-praise little-old-woman*

Ἀρταμουξία.
*Artamouxia*

διέβαλλέ μ᾽ ἡ γραῦς. ἀπότρεκ᾽ ὡς τάκιστα σύ·
*deceived me the old-woman run-off as quickest you*

ὀρτῶς δὲ συβήνη ᾽στί· καταβηνῆσι γάρ. 1215
*rightly and quiver it-is you-have-been-screwed for*

οἴμοι,
*ah-me*

τί δρᾶσι; ποῖ τὸ γράδι᾽; Ἀρταμουξία.
*what shall-I-do where the little-old-woman Artamouxia*

ΧΟΡΟΣ τὴν γραῦν ἐρωτᾷς, ἢ ᾽φερεν τὰς πηκτίδας;
*the old-woman do-you-ask who carried the harps*

ΤΟΞΟΤΗΣ ναὶ ναῖκι. εἶδες αὐτό; ΧΟΡΟΣ ταύτῃ γ' οἴχεται
*yes yes did-you-see it this-way at-least she-is-gone*
αὐτή τ' ἐκείνη καὶ γέρων τις εἵπετο.
*she both herself and old-man some followed*
ΤΟΞΟΤΗΣ κροκῶτ' ἔκοντο τὴ γέροντο; ΧΟΡΟΣ φήμ' ἐγώ.
*saffron-gown having the old-man say I*
ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηί.
*still — you-may-catch if you-pursue this-way-here*
ΤΟΞΟΤΗΣ ὦ μιαρὸ γρᾶο· πότερα τρέξι τὴν ὁδό;
*O foul old-woman which run the road*
Ἀρταμουξία.
*Artamouxia*
ΧΟΡΟΣ ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς; οὐ πάλιν
*straight up pursue where do-you-run not back*
τηδὶ διώξει; 's τοὔμπαλιν τρέχεις σύ γε.
*this-way you-will-pursue to the-opposite you-run you at-least*
ΤΟΞΟΤΗΣ κακόδαιμον, ἀλλὰ τρέξι. Ἀρταμουξία.
*ill-starred but I-will-run Artamouxia*

## XV · EXODUS

*The chorus says it has played enough and prays that the two goddesses repay it.*

ΧΟΡΟΣ τρέχε νυν κατὰ τοὺς κόρακας ἐπουρίσας, τρέχε.
*run now to the crows with-fair-wind run*
ἀλλὰ πέπαισται μετρίως ἡμῖν·
*but has-been-played moderately by-us*
ὥσθ' ὥρα δή 'στι βαδίζειν
*so-that time indeed is to-walk*

οἴκαδ᾽ ἑκάστῃ. τὼ Θεσμοφόρω δ᾽
*home for-each the Two-Thesmophoroi and*
ἡμῖν ἀγαθὴν 1230
*to-us good*
τούτων χάριν ἀνταποδοίτην.
*of-these favor may-repay*

---